Σὺν δ᾽ ἔβαλεν νεφέλας, κρύψεν δὲ πυραυγέα δίσκον,
Σὺν δ᾽ ἄστροις μήνην, καὶ οὐράνιον στεφάνωμα,
Πάντα περισκεπάσας, μεγάλ᾽ ἔκτυπε, δεῖμα βροτοῖσι,
Πρηστῆρας πέμπων· συνεπηγείροντο δ᾽ ἄῆται
Πάντες, καὶ ὑδάτων φλέβες ἐλλύοντο ἅπασαι,
Οὐρανόθεν μεγάλων ἀνοιγομένων καταρακτῶν,
Καὶ μυχῶν γαίης καὶ ἀβύσσου ἀκαμάτοιο
Ὕδατα μυριόεντα φάνη, καὶ γῆ ἐκαλύφθη
Πᾶσα ἀπειρέσιος. Αὐτὸς δ᾽ ἐπενήχετο ὄμβρῳ
Οἶκος θεσπέσιος· πολλοῖσι δὲ κύμασι λάβροις
Ῥηγνύμενος, καὶ νηχόμενος ἀνέμων ὑπὸ ῥιπῆς,
Ὤρνυτο δειμαλέως· ἔτεμεν δέ γε μυρίον ἀφρὸν
Στείρα, κινυμένων ὑδάτων κελαρυζομενάων.
Ἀλλ᾽ ὅτε κόσμον ἅπαντα Θεὸς κατέκλυσ᾽ ὑετοῖσι,
Καὶ τότε δ᾽ αὖ Νῶε φρεσὶν ἔνθετο, ὄφρ᾽ ἐσαθρήσῃ,

In dem hölzernen Haus, wie mischen mit Thränen die Wellen!
Denn wann herein nach Gottes Befehl die Wasser einst brechen,
Dann wird schwimmen die Erde, die Berge schwimmen, der Aether;
Wasser wird überall sein, und Alles durch's Wasser zu Grund gehn.
Keine Winde mehr weh'n, und andere Zeiten beginnen.
Phrygien du wirst zuerst wieder aus der Fläche des Wassers
Tauchen herauf und zuerst ernähren anderer Menschen
Neu beginnend Geschlecht, wirst sein die Mutter von Allen.
Als er nun dieses umsonst zum gesetzlosen Volke geredet,
Da erschien wiederum der Höchste und rief ihm und sagte:
Jetzt ist gekommen die Zeit, Noah, All das zu beschliessen,
Was ich dereinst dir versprach und bewilligte, dir zum Gedeihen.
Alles was Böses verübt in Menge die früheren Geschlechter,
Wegen des Volks Starrsinn wird gestraft an der sämmtlichen Welt jetzt.
Du aber steige alsbald mit den Söhnen und mit deinem Weibe,
Sammt den Bräuten hinein, und was sonst ich zu rufen befehle,
Der vierfüssigen Thiere Geschlecht, und was kriecht und was flieget.
Diesen Allen will ich hinein in die Seele es legen,
Dass sie williglich kommen heran, die zu leben bestimmt sind.
Also er sprach. Aber der ging laut ausrufend und redend.
Da nun traten sein Weib, und die Söhne sammt ihren Bräuten
Ein in das hölzerne Haus, und darauf die übrigen Andern;
Jegliches eilte heran, dem Gott zu kommen geboten.
Als nun aber die Decke mit Klammern und Riegeln verseh'n war,
Schräg zusammengefügt an rings geglätteter Stelle:
Da ward endlich vollführt der Rathschluss Gottes im Himmel.
Wolken trieb er zusammen und barg die feurige Scheibe,
Sammt den Sternen den Mond, barg auch des Himmels Bekränzung;
Alles in Dunkel gehüllt, laut donnernd, ein Schrecken der Menschen;
Sendete Blitze herab, und es hoben zugleich sich die Winde
Alle zumal, und es öffneten sich alle Adern des Wassers,
Mächtig stürzten herab aus der Luft die entfesselten Fluthen;
Und aus der Erde tiefem Geklüft und aus gähnendem Abgrund
Stürzten die Wasser in Massen hervor und bedeckten die Erde
Die unermessliche ganz. Nur sie die göttliche Arche
Trieb auf der Fluth gepeitscht von vielen und mächtigen Wogen,
Und fuhr schwimmend einher, durch der Winde mächtigen Andrang
Schrecklich gejagt; doch entzwei die gewaltige Masse des Schaumes
Schnitt der Kiel, und es brauste die Fluth im Wellengewoge.
Als aber Gott die sämmtliche Welt überfluthet mit Wasser,
Da beschloss in dem Herzen Noah des Unsterblichen Rathschluss

Ἀθανάτου βουλῇσιν· ἔδυ δέ τε Νηρέος ἄδην.
Ὦκα δὲ πῶμ᾽ ἀνέῳξε περιξεστοῦ ἀπὸ τείχου
Ἐμπείροις ἁρμοῖσι κατ᾽ ἀντίον ἁρμοσθέντα.
Καὶ λεύσας ὑδάτων ἀπειρεσίων πολὺ πλῆθος
Πάντοσε Νῶε μόρεν ὀφθαλμοῖσιν ὁρᾶσθαι,
Λειμ᾽ ἔχε, καὶ κραδίην πάλλεν μέγα. Καὶ τότε δ᾽ ἀὴρ
Βαιὸν στειλάμενος, ἐπειὴ κάμεν ἤμασι πολλοῖς
Κόσμον ὅλον δεύων, τότε διελὼν, οἷά τε χλωρὸν,
Αἱματόεντα πόλου μέγαν τε πυραυγέα δίσκον
Λεῖξεν κεκμηκότα· μόλις δ᾽ εἶχεν Νῶε θάρσος.
Καὶ τότε δὴ πελίην οἴην ἀπὸ νόσφι ποιήσας
Ἔκβαλεν, ὄφρα γνῷ ἐνὶ φρεσὶν, εἴ ποτε γαῖα
Φαίνετ᾽ ἔτι στερεή. Ἡ δὲ πτερύγεσσι καμοῦσα,
Πάντα περιπτήσασα, πάλιν τρέπετ᾽· οὔτε γὰρ ὕδωρ
Ἦν κοπάσαν· μάλα γάρ τε πεπληρώκει τὰ ἕκαστα.
Αὐτὰρ ὃς ἡσυχάσας πάλιν ἧματα, πέμπε πέλειαν
Αὖθις, ἵνα γνῷ, εἴπερ ἐπαύσατο ὕδατα πολλά.
Ἡ δ᾽ ἄρα πωτήεσσα διέπτατο, βῆ δ᾽ ἐπὶ γαῖαν,
Βαιὸν δ᾽ ἀμπαύσασα δέμας νοτερῇ ἐπὶ γαίῃ,
Ἦψ ἐπὶ Νῶε πάλιν δέ τε ἦλυθε, κάρφος ἐλαίας
Σῆμα φέρουσα μέγ᾽ ἀγγελίης. Θάρσος δ᾽ ἔχε πάντας
Καὶ μέγα χάρμ᾽, ὅτι γαῖαν ἐπελπίζεσκον ἀθρῆσαι.
Καὶ τότε δὴ μετέπειτ᾽ ἄλλον μελανόπτερον ὄρνιν
Τάχος ὑπεξέπεμψεν· ὁ δὲ πτερύγεσσι πεποιθὼς,
Προφρονέως πέτατο, γαίῃ δ᾽ ἐλθὼν ἀπέμεινε.
Γνῶ δέ τε Νῶε ὅτι γαῖα πέλει πέλας ἆσσον ἐοῦσα.
Ἀλλ᾽ ὅτε δὴ ῥοθίοις ἐπὶ κύμασιν ἔνθα καὶ ἔνθα,
Ἀμβροσίῃ τέχνῃ, ἐπενήχετο οἴδμασι πόντου,
Πηγνυμένη ὀλίγης ἐπὶ ἠόνος ἐστήρικτο.
Ἔστι δέ τι Φρυγίης ἐπὶ ἠπείροιο μελαίνης
Ἠλίβατον τανύμηκες ὄρος· Ἀραρὰτ δὲ καλεῖται,
Ὅττ᾽ ἄρα σωθήσεσθαι ἐπ᾽ αὐτῷ πάντες ἔμελλον,
Ἐν τούτῳ μεγάλη δὲ ποθὴ καταθύμιος ἦεν.
Ἔνθα φλέβες μεγάλου ποταμοῦ Μαρσύου πεφύκασι.
[Τοῦδε] κιβωτὸς ἔμεινεν ἐν ὑψηλοῖο καρήνῳ,
Ληξάντων ὑδάτων. Τότε δ᾽ αὖ πάλιν οὐρανόθι πρὸ
Θεσπεσίη μεγάλοιο Θεοῦ πάλιν ἴαχε φωνὴ
Τοῖον ἔπος· Νῶε πεφυλαγμένε, πιστὲ, δίκαιε,
Θαρσαλέως ἔξελθε σὺν υἱέσι, καί τε δάμαρτι,
Καὶ νύμφαις τρισσαῖς, καὶ πλήσατε γαῖαν ἅπασαν
Αὐξόμενοι, πληθυνόμενοι, τὰ δίκαια νέμοντες

Auszuspähen; denn satt war er der Gaben des Nereus.
Und von des Schiffs geglätteter Wandung schnell er die Decke
Nahm, die gefestete quer gegenüber mit trefflichen Riegeln.
Und die gewaltige Menge von endlosen Wassern erblickend,
Konnte Noah überall den Tod nur seh'n mit den Augen.
Da überfiel ihn Beben und Furcht. Doch es legte der Wind sich
Jetzt ein wenig; denn müde war er die Welt zu durchwehen
Alle die Tage hindurch; und er liess die feurige Scheibe
Blass und blutig und gross, nachdem das Gewölke zertheilt war,
Blicken vom Himmel herab. Kaum konnte sich Noah erholen.
Dann aber schickte er fort von sich eine einzige Taube,
Sendend hinaus sie, damit er erführe, ob etwa die Erde
Stehbar erschiene und fest. Aber die, mit ermüdeten Flügeln
Alles umfliegend, kehrte zurück. Noch waren die Wasser
Nicht verlaufen; vielmehr war Alles von ihnen erfüllet.
Er aber ruhete nicht viel Tage, und schickte die Taube
Wiederum aus, zu erspäh'n, ob die Massen der Wasser gefallen.
Die nun flog im Fluge dahin und trat auf die Erde,
Ruhte ein Weniges aus, ermattet, auf feuchtem Gefilde;
Dann kam sie zu Noah zurück und brachte ein grosses
Botschafts-Zeichen, den Oelzweig: da wurden Alle voll Muthes
Und voll unendlicher Freude: man hoffte die Erde zu schauen.
Und er liess einen andern schwarz gefiederten Vogel
Dann aus der Arche hinaus. Doch der, den Flügeln vertrauend,
Schwebte willig dahin und erreichend die Erde verblieb er.
Noah bemerkte hieran, dass näher die Erde herankam.
Aber als nun auf rauschender Fluth die Arche daherfuhr,
Mittelst unsterblicher Kunst hintreibend auf wogender Meerfluth
Hierhin und dorthin, da blieb auf schmalem Strande sie stehen.
Weit und hoch gedehnt auf Phrygiens dunkelem Festland
Ragt ein steiles Gebirg, es führet den Namen Ararat,
Weil die Rettung auf ihm für Alle zusammen bestimmt war,
Und in den Herzen alldort ein grosses Verlangen sich kund that.
Dort entspringen die Adern des grossen Flusses Marsyas.
Dort auf den Höhen des Bergs blieb stehen die Arche des Noah,
Während das Wasser verlief. Da wieder vom Himmel erschallend
Rief noch einmal die göttliche Stimme des mächtigen Gottes
Folgendes aus: Noah, erretteter, treuer, gerechter,
Muthig komme heraus mit den Söhnen und mit der Genossin,
Sammt den drei Bräuten, und mehrt euch und füllet die sämmtliche Erde,
Wachset heran und übt die Gerechtigkeit gegen einander

Ἀλλήλοις, γενεαῖς γενεῶν, ἄχρις εἰς κρίσιν ἥξει
Πᾶν γένος ἀνθρώπων, ἐπεὶ κρίσις ἔσσεθ' ἅπασιν.
Ὣς ἔφατ' ἀμβροσίῃ φωνῇ. Νῶε ῥ' ὡς ἀπὸ κοίτης
Ἧιξ' ἀποθαρσήσας ἐπὶ γῆς· υἱοὶ δὲ σὺν αὐτῷ,
Ἦδὲ δάμαρ, νύμφαι τε, καὶ ἑρπετὰ, καὶ πετεηνὰ,
Τετραπόδων τε γένη, καὶ τἄλλ' ἅμα πάντα
Οἴκου δουρατέου ἐξήεσαν εἰς ἕνα χῶρον.
Καὶ τότε δή τοι Νῶε δικαιότατος ἀνθρώπων
Ὁδοὸς ἐξῆλθεν, δὶς εἴκοσι καὶ μίαν ἠῶ
Πληρώσας ὑδάτεσσι, Θεοῦ μεγάλου διὰ βουλάς.
Ἐνθ' αὖθις βιότοιο νέη ἀνέτειλε γενέθλη,
Χρυσείη πρώτη, ἥτις πέλεθ' ἕκτη, ἀρίστη,
Ἐξ ὅτου πρωτόπλαστος ἀνὴρ γένετ'· οὔνομα δ' αὐτῇ
Οὐρανίη, ὅτι πάντα Θεῷ μεμελημένη ἔσται.
Ὦ γενεῆς ἕκτης πρῶτον γένος, ὦ μέγα χάρμα,
Ἧς ἔλαχον μετέπειτ', ὅτε δ' ἔκφυγον αἰπὺν ὄλεθρον,
Πολλὰ κλυδωνισθεῖσ' ἅμ' ἐμῷ πόσει καὶ δαέρεσσιν,
Ἠδ' ἑκυρῷ θ' ἑκυρῇ, δμονύμφοισίν τε παθοῦσα.
Ἄρτι δὲ αἰνήσω· ἔσται πολυποίκιλον ἄνθος
Ἐν συκῇ, μεσάσει δὲ χρόνος βασιλήϊον ἀρχὴν
Σκηπτροφόρον δ' ἕξει. Τρεῖς γὰρ βασιλεῖς μεγάθυμοι,
Ἄνδρε δικαιότατοι, μοίρας δέ τε δηλώσονται,
Πουλυετῇ δ' ἄρξουσι χρόνον, τὰ δίκαια νέμοντες
Ἀνδράσιν, οἷσι μέμηλε πόνος καὶ ἔργ' ἐρατεινά.
Γαίη δ' αὖ καρποῖς ἐπαγάλλεται αὐτομάτοισι
Φυομένη πολλοῖσιν, ὑπερσταχύουσα γενέθλῃ.
Οἱ δέ τε τηθευτῆρες ἀγήραοι ἤματα πάντα
Ἔσσονται, νόσφιν νούσων κρυερῶν μαλεράων·
Θνήξονται ὕπνῳ βεβολημένοι, ἐς δ' ἀχέροντας
Εἰν ἀΐδαο δόμοις ἀπελεύσονται, καὶ ἐκεῖσε
Τιμὴν ἕξουσιν, ἐπεὶ μακάρων γένος ἦσαν,
Ὄλβιοι ἀνέρες, οἷς Σαβαὼθ νόον ἐσθλὸν ἔδωκεν,
Αὐτὰρ καὶ τούτοισιν ἀεὶ συμφράσσατο βουλάς.
Ἀλλ' οὗτοι μάκαρες, καὶ εἰν ἀΐδαο μολόντες,
Ἔσσονται. Τότε δ' αὖτε βαρὺ στιβαρὸν μετέπειτα
Δεύτερον αὖ γένος ἄλλο χαμαιγενέων ἀνθρώπων,
Τιτήνων. Ὅμοιος δὲ τύπος ἐπὶ πᾶσιν ἕκαστον,
Εἶδος καὶ μέγεθός τε φυήν· φωνὴ δὲ μί' ἔσται,
Ὡς πάρος ἐκ πρώτης γενεῆς Θεὸς ἐν στήθεσσιν
Ἔνθετο. Ἀλλὰ καὶ αὐτοὶ ὑπέρβιον ἦτορ ἔχοντες
Ὕστατα βουλεύσονται, ἐπειγόμενοι πρὸς ὄλεθρον,

Von Geschlecht zu Geschlecht, bis einstens kommt zum Gerichte
Jegliches Menschengeschlecht; denn Alle erwartet ein Richttag.
Sprach's mit ambrosischer Stimm'. Aber Noah vom Lager erhoben
Sprang auf die Erde muthig hinab, ihm folgten die Söhne,
Auch die Gemahlin und Bräute, die Thiere, die kriechen und fliegen;
Auch vierfüssiger Thiere Geschlecht, und alle die andern,
Alle traten zumal an's Land aus der hölzernen Wohnung.
Und es trat als der achte Noah, der Frömmste der Menschen,
Damals hinaus; er hatte der Tage zweihundert und einen
Auf dem Wasser verbracht, so wollte der mächtige Gott es.
Da wiederum erblüheten bald neue Zeiten des Lebens.
Erst war die goldene Zeit, die sechste, die beste, seitdem der
Erstgebildete Mensch ward, himmlisches Zeitalter hiess sie,
Weil alle Dinge dem Herrn fürsorglich liegen am Herzen.
O du des sechsten erstes Geschlecht, o grosses Erfreuen,
Das in der Folge mir ward, als dem schrecklichen Tod ich entronnen,
Viel geschleudert umher zugleich mit Gatten und Schwägern,
Und mit den Eltern auch des Gemahls und den Frauen der Schwäger.
Weissagen aber will ich jetzt: Eine vielfarbige Blume
Wird an der Feige geseh'n zur mittleren Zeit, die besitzet
Königliche Gewalt und Scepter. Grossmüthige Herrscher
Drei an Zahl, die frömmsten der Männer, verkünden die Loose,
Herrschen vieljährige Zeit, was Recht ist den Menschen zutheilend;
Denn ihnen lieget Arbeit an dem Herzen und liebliche Werke.
Aber noch einmal prunkt die Erde mit vielerlei Früchten,
Welche gewachsen von selbst, und versorgt mit Getreide die Menschen.
Und es werden die Väter in allen den Tagen nicht altern;
Frei von Krankheit und Fieberfrost, dem schrecklichen bleiben;
Sterben vom Schlafe bewältigt und so im Hause des Hades
Gehen zum Acheron hin, um dort in Ehren zu weilen;
Weil ein trefflich Geschlecht von seligen Menschen sie waren,
Glückliche Männer, und denen Gott Zebaoth tüchtigen Sinn gab,
Und mit welchen er auch alle Zeit des Rathes gepflogen.
Glücklich werden sie sein, auch wann sie zum Hades gegangen.
Dann aber kömmt wiederum in der Folge ein kräftiges andres,
Zweites gewaltig Geschlecht der Erdegeborenen Menschen,
Der Titanen, von gleicher Gestalt in Allem und Jedem,
In der Grösse, im Ausseh'n und Wuchs, auch Eins in der Sprache,
Wie vordem seit dem ersten Geschlecht sie Gott in den Sinn gab.
Aber auch diese, erfüllt von übermüthigem Wesen,
Werden zum Höchsten hinstreben und so ihr Verderben beeilen,

Ἀντίβιον μαχέσασθαι ἐπ᾽ οὐρανῷ ἀστερόεντι.
Καὶ τότε δ᾽ ὠκεανοῦ μεγάλου ῥύσις ἔσσετ᾽ ἐν αὐτοῖς,
Μαινομένων ὑδάτων. Ὁ μέγας Σαβαὼθ δὲ χολωθεὶς
Εἴρξει κωλύων, ὅτι μὴ κατακλυσμὸν ὑπέστη
Αὖθις ποιήσειν ἐπὶ ἀνθρώπους κακοθύμους.
Ἀλλ᾽ ὁπόταν ὑδάτων πολλῶν ἀπερείσιον οἶδμα,
Κύματος ὀρνυμένοιο ἐπ᾽ ἄλλυδις ἄλλο, ποιήσει
Ὀργῆς παύεσθαι, εἰς ἄλλα τε βένθεα πόντου
Μέτρ᾽ ὀλιγωθείη, λιμέσιν καὶ τρηχέσιν ἀκταῖς
Ἀμφὶ γαίῃ ὁρίσας, ὁ μέγας Θεὸς ὑψικέραυνος·
Λὴ τότε καὶ μεγάλοιο Θεοῦ παῖς ἀνθρώποισιν
Ἥξει σαρκοφόρος, θνητοῖς ὁμοιούμενος ἐν γῇ·
Τέσσαρα φωνήεντα φέρων· τὰ δ᾽ ἄφωνα ἐν αὐτῷ
Λισσά τ᾽ ἀγγέλλω· ἀριθμὸν δ᾽ ὅλον ἐξονομήνω·
Ὀκτὼ γὰρ μονάδας, τόσσας δεκάδας δ᾽ ἐπὶ ταύταις,
Ἠδ᾽ ἑκατοντάδας ὀκτὼ, ἀπιστοκόροις ἀνθρώποις
Οὔνομα δηλώσει· σὺ δ᾽ ἐνὶ φρεσὶ σῇσι νόησον
Ἀθανάτοιο Θεοῦ Χριστὸν παῖδ᾽ ὑψίστοιο.
Αὐτὸς πληρώσει δὲ Θεοῦ νόμον, οὐ καταλύσει,
Ἀντίτυπον μίμημα φέρων, καὶ πάντα διδάξει.
Τούτῳ προσκομίσουσ᾽ ἱερεῖς χρυσὸν προφέροντες,
Σμύρναν, ἀτὰρ λίβανον· καὶ γὰρ τάδε πάντα ποιήσει.
Ἀλλ᾽ ὁπόταν φωνή τις ἐρημαίης διὰ χώρης
Ἥξει ἀπαγγέλλουσα βροτοῖς, καὶ πᾶσι βοήσει,
Εὐθείας ἀτραποὺς ποιησέμεν, ἠδ᾽ ἀπορίψαι
Ἐκ κραδίης κακίας, καὶ ὕδασι φωτίζεσθαι
Πᾶν δέμας ἀνθρώπων, ἵνα, γεννηθέντες ἄνωθεν,
Μηκέτι μηδὲν ὅλως γε παρεκβαίνωσι δικαίων·
(Τὴν δ᾽ αὖ βαρβαρόφρων, ὁ πεπεισμένος ὀρχηθμοῖσιν,
Ἐκκόψας δώσει μισθόν)· τότε σῆμα βροτοῖσιν
Ἔσσεται ἐξαίφνης, ὁπόταν πεφυλαγμένος ἥξει
Ἐκ γῆς Αἰγύπτοιο καλὸς λίθος· ἐν δ᾽ ἄρα τούτῳ
Λαὸς προσκόψει Ἑβραίων· ἔθνη δ᾽ ἀγεροῦνται
Αὐτοῦ ὑφηγήσει· καὶ γὰρ Θεὸν ὑψιμέδοντα
Γνώσονται διὰ τοῦδε, καὶ ἀτραπὸν ἐν φαῒ κοινῷ.
Λείξει γὰρ ζωὴν αἰώνιον ἀνθρώποισιν
Ἐκλεκτοῖς, ἀνόμοις δὲ τὸ πῦρ αἰῶσιν ἐποίσει.
Καὶ τότε δὴ νοσεροὺς ἰήσεται, ἠδ᾽ ἐπιμώμους
Πάντας, ὅσοι τούτῳ πίστιν ἐνὶ ποιήσονται.
Βλέψουσι δέ τε τυφλοὶ, ἀτὰρ βαδίσουσί τε χωλοὶ,
Κωφοὶ τ᾽ εἰσακούσουσι, λαλήσουσ᾽ οὐ λαλέοντες.

Kämpfend an mit Gewalt entgegen dem strahlenden Himmel.
Und dann wird gegen sie ein gewaltig Ergiessen des Meeres
Kommen und rasende Fluth. Aber Zebaoth, der Allgewalt'ge,
Drängt erzürnt sie zurück: Denn nicht Ueberschwemmung zu bringen
Wiederum über die Menschen von schlechter Gemüthsart verhiess er.
Aber wann er den Zorn und das grausige Toben der Fluthen,
Gegen einander zu Bergen gethürmt, dann zur Ruhe gebracht hat;
Schliesset er auch die Tiefen des Meeres in engere Grenzen,
Und mit Häfen und Felsumgebenen brandenden Küsten
Rings umzäunet er es, Gott, er der mächtige Donnrer.
Dann kömmt auch zu den Menschen der Sohn des gewaltigen Gottes,
Angethan mit Fleisch und den Sterblichen ähnlich auf Erden.
Vier Vokale hat er, und Konsonanten an ihm sind
Zweie, ich sag' es, und jetzt will ich die Gesammtzahl verkünden:
Acht Monaden es sind, und Zehner noch eben so viele,
Dann noch achthundert dazu, so wird den ungläubigen Menschen
Er seinen Namen verkünden: Doch du, in deinem Gemüthe
Denk' an Christus, den Sohn des höchsten, unsterblichen Gottes.
Aber Gottes Gesetz erfüllet er selber, nicht löst er's.
Ein ihm ähnliches Bild trägt er, und wird Alles lehren.
Zu ihm treten auch Priester heran und bringen als Gabe
Gold und Myrrhen und Weihrauch; denn so wird Alles er fügen.
Aber wenn durch das Land eine Stimme der Wüste erschallet,
Kündend den Sterblichen an und Allen vernehmlichen Rufes,
Grad zu machen die Pfade und aus dem Herzen zu bannen
Bosheit jeglicher Art, und durch's Wasser-Bad zu erleuchten
Jegliche Menschengestalt, auf dass von oben geboren
Keiner in keinerlei Art vom Weg der Gerechten ablenke:
(Aber sie wird ein barbarischer Mann, durch Tänze bezaubert,
Mit Enthauptung belohnen): Alsdann wird ein Zeichen urplötzlich
Ihnen den Sterblichen sein, dann wann er beschützet herankömmt
Aus der Aegyptier Land, der Stein, der schöne, an welchem
Sich der Hebräer Volk stösst: Aber es versammeln die Völker
Um seinen Unterricht sich; denn durch ihn werden erkennen
Sie den erhabenen Gott und den Pfad im gemeinsamen Lichte.
Denn das ewige Leben wird er den erwähleten Menschen
Zeigen, jedoch dem bösen Geschlecht das Feuer er bringet.
Auch wird Kranke alsdann er heilen, und welche gebrechlich,
Alle zusammt, die immer auf ihn sich stützen im Glauben.
Sehen auch werden die Blinden und wiederum gehen die Lahmen,
Taube hören genau, und die nicht redeten sprechen.

Δαίμονας ἐξελάσει· νεκρῶν δ᾽ ἐπανάστασις ἔσται·
Κύματα πεζεύσει· καὶ ἐρημαίῳ ἐνὶ χώρῳ
Ἐξ ἄρτων πέντε καὶ ἰχθύος εἰναλίοιο
Χιλιάδας κορέσει πέντε, τὰ δὲ λείψανα τούτων
Δώδεκα πληρώσει κοφίνους εἰς Παρθένον ἁγνήν.
Καὶ τότε δ᾽ Ἰσραὴλ μεμεθυσμένος οὐχὶ νοήσει,
Οὐδὲ μὲν αὐδήσει βεβαρημένος οὔασι λεπτοῖς.
Ἀλλ᾽ ὁπόταν Ἑβραίοις ἥξῃ χόλος ὑψίστοιο
Οἰστρομανὴς, καὶ πίστιν ἐξ αὐτῶν ἐξαφελεῖται,
Οὐράνιον ὅτι παῖδα Θεοῦ διεδηλήσαντο·
Καὶ τότε δὴ κολάφους καὶ πτύσματα φαρμακόεντα
Ἰσραὴλ δώσει μυσαροῖς ἐνὶ χείλεσι τούτῳ.
Εἰς δὲ τὸ βρῶμα χολὴν καὶ εἰς πότον ὄξος ἄκρατον
Δυσσεβέως δώσουσι, κακῷ βεβολημένοι οἴστρῳ
Στήθεα καὶ κραδίην, ἀτὰρ ὄμμασιν οὐκ ἐσορῶντες,
Τυφλότεροι σπαλάκων, φοβερώτεροι ἑρπυστήρων
Θηρῶν ἰοβόλων, βαρέϊ πεπεδημένοι ὕπνῳ.
Ἀλλ᾽ ὅταν ἐκπετάσῃ χεῖρας καὶ πάντα μετρήσῃ,
Καὶ στέφανον φορέσῃ τὸν ἀκάνθινον, ἠδέ γε πλευρὰν
Νύξωσι καλάμοισιν, ὅτου χάριν ἐν τρισὶν ὥραις
Νὺξ ἔσται σκοτόεσσα πελώριος ἤματι μέσσῳ·
Καὶ τότε δὴ ναὸς Σολομώνιος ἀνθρώποισι
Σῆμα μέγ᾽ ἐκτελέσει, ὁπόταν Ἀϊδωνέος οἶκον
Βήσεται, ἀγγέλων ἐπανάστασιν τεθνειῶσιν.
Αὐτὰρ ἐπὴν ἔλθῃ τρισὶν ἤμασιν ἐς φάος αὖθις,
Καὶ δείξῃ θνητοῖσι τύπον, καὶ πάντα διδάξῃ,
Ἐν νεφέλαις ἐπιβὰς εἰς οὐρανοῦ οἶκον ὁδεύσει,
Καλλείψας κόσμῳ εὐαγγελίης διάθημα.
Τοῦ καὶ ἐπωνυμίῃ βλαστὸς νέος ἀνθήσειεν
Ἐξ ἐθνῶν, μεγάλοιο νόμῳ καθοδηγηθέντες.
Ἀλλά γε καὶ μετὰ ταῦτα Σόλοι καθοδηγοὶ ἔσονται,
Καὶ τότε δὴ παῦσις ἔσται μετέπειτα προφητῶν.
Ἔνθεν ὅταν Ἑβραῖοι τὸ κακὸν θέρος ἀμήσωνται,
Πολλὸν δ᾽ αὖ χρυσόν τε καὶ ἄργυρον ἐξαλαπάξει
Ῥωμαῖος βασιλεύς. Μετὰ δ᾽ αὖ βασιληΐδες ἄλλαι
Συνεχέως ἔσσονται ἀπολλυμένων βασιλειῶν,
Καὶ θλίψουσι βροτούς. Μέγα δ᾽ ἔσσεται ἀνδράσι κείνοις
Πτῶμ᾽, ὅταν ἄρξωνται ὑπερηφανίης ἀδίκοιο.
Ἀλλ᾽ ὁπόταν ναὸς Σολομώνιος ἐν χθονὶ δίᾳ
Καππέσεται, βληθεὶς ὑπ᾽ ἀνδρῶν βαρβαροφώνων
Χαλκεοθωρήκων, Ἑβραῖοι δ᾽ ἀπο γῆς ἐλάσονται

Auch Dämonen wird er austreiben, und Todte erstehen.
Ueber das Wasser geht er zu Fuss. In einsamer Gegend
Sättiget mit fünf Broden und mit Einem Fische des Meeres
Er fünftausend Mann und füllt mit den Resten der Speise
Noch zwölf Körbe voll an, bestimmt für die heilige Jungfrau.
Aber auch jetzt will Israel nicht in der Trunkenheit merken,
Auch nicht hören wird es durch schwächliche Ohren gehindert.
Wenn aber dann der schreckliche Zorn des Höchsten hereinbricht
Auf die Hebräer und ihren Glauben ihnen hinwegnimmt,
Weil das himmlische Kind des Herrn sie haben beschädigt:
Dann wird Israel ihm Backenstreiche und giftigen Speichel
Auf die besudelten Wangen schleudern, und ihm als Speise
Galle vorsetzen, zum Trank den reinen Essig ihm reichen,
Gottvergessnen Gemüths, von schrecklicher Bosheit besessen
Brust und Herz, mit Blindheit zudem die Augen geblendet;
Mehr als Maulwürfe blind, und scheusslicher noch als das giftge
Kriechende Schlangengezücht, von tiefem Schlafe bewältigt.
Wann aber ausgespannt ihm die Händ', und er Alles erlitten,
Und wann den Kranz von Dornen er trägt, und wann sie die Seite
Ihm mit Lanzen durchbohrt; weshalb dreistündiges Dunkel,
Dunkelschattige Nacht kömmt, gewaltige mitten am Tage:
Dann wird der Salomonische Tempel den Menschen ein grosses
Wunder aufweisen, wann er hinab in die Wohnung des Hades
Wandern wird und die Wiedererstehung der Todten verkündigt.
Aber wann er drei Tage darauf dann wieder an's Licht kömmt,
Und seinen Leib den Sterblichen zeigt und Alles gelehrt hat;
Dann wird er auf den Wolken hinan in die himmlische Wohnung
Geh'n, hinterlassend der Welt des Evangeliums Satzung.
Nach seinem eigenen Namen genannt wird ein neues Geschlecht dann
Aus den Heiden ersteh'n, in Gottes Gesetz unterrichtet.
Aber nachher werden auch die Apostel als Führer erstehen,
Und es haben alsdann die Propheten für immer ein Ende.
Aber wann dann die Hebräer die gottlosen Saaten einärndten;
Viel an Silber und Gold wird dann ein römischer König
Führen plündernd hinweg. Doch hernach werden andere Reiche
Sich erheben beständig und Könige werden zu Grund geh'n.
Menschen werden bedrängt. Aber gross wird sein das Verderben
Jener Männer, wenn sie unrechtlichen Hochmuth beginnen.
Aber wann Salomo's Tempel auf heiliger Erde dahinsinkt,
Niedergeworfen von erzgepanzerten Männern der Fremde,
Und aus dem Lande gejagt die Hebräer die Heimath verlassen,

Πλαζόμενοι, κεραϊζόμενοι, πολλὴν δέ τοι αἶραν
Ἐν σίτῳ μίξουσι, κακὴ στάσις ἔσται ἅπασιν
Ἀνδράσιν· αἱ δὲ πόλεις ὑβριζόμεναι παρ᾽ ἕκαστα
Ἀλλήλας κλαύσουσιν, ἐπεὶ κακὸν ἤλιτον ἔργον,
Δεξάμεναι μεγάλοιο Θεοῦ χόλον ἐν κόλποισιν.

Irrend umher und mischend viel Unkraut unter den Waizen:
Dann steht sämmtlichen Menschen bevor ein schrecklicher Aufruhr;
Und es werden die Städte weinen über einander,
Jede von jeder bedrängt, da sündliche Werke geübt sie,
Und weil im Herzen sie traf der Zorn des allmächtigen Gottes.

ΤΩΝ ΣΙΒΥΛΛΙΑΚΩΝ

ΧΡΗΣΜΩΝ

ΛΟΓΟΣ ΔΕΥΤΕΡΟΣ.

Ἦμος δὲ κατέπαυσε Θεὸς πολυπάνσοφον ᾠδὴν
Πολλὰ λιταζομένης, καί μοι πάλιν ἐν στήθεσσιν
Ἔνθετο θεσπεσίων ἐπέων πολυγηθέα φωνήν.
Πᾶν δέμας ἐκπληχθεῖσα τάδ' ἔσπομαι· οὔτε γὰρ οἶδα
Ὅττι λέγω, κέλεται δὲ Θεὸς τὰ ἕκαστ' ἀγορεύειν.
Ἀλλ' ὁπόταν ἐπὶ γῆς σεισμοὶ, μαλεροί τε κεραυνοὶ,
Βρονταί τ' ἀστεροπαὶ, καὶ γῆς ἐρυσίβη, [σεισμοὶ]
Καὶ μανίη θώων τε λύκων τ' ἀνδροκτασίαι τε,
Καὶ φθοραὶ ἀνθρώπων, ἢ καὶ βοῶν μυκομενάων,
Τετραπόδων κτηνῶν τε καὶ οὐρήων ταλαεργῶν,
Ἠδ' αἰγῶν ὀΐων τε· ἔπειτα δὲ χέρσος ἄρουρα
Πολλὴ καλλειφθεῖσα γενήσεται ἐξ ἀμελείας,
Καὶ καρποὶ λείψουσιν, ἐλευθεροπρασία δ' ἔσται
Πλείστοις ἐν μερόπεσσι, καὶ ἱεροσυλία ναῶν.
Δὴ τότε καὶ γενεὴ δεκάτη μετὰ ταῦτα φανεῖται
Ἀνθρώπων, ὁπόταν σεισίχθων ἀστεροπητὴς
Εἰδώλων ζῆλον θραύσει, λαόν τε τινάξει
Ῥώμης ἑπταλόφοιο, μέγας δέ τε πλοῦτος ὀλεῖται
Δαιόμενος πυρὶ πολλῷ ὑπὸ φλογὸς Ἡφαίστοιο.
Καὶ τότε δ' αἱματόεσσαι ἀπ' οὐρανίου καταβᾶσαι

. . . . . .

Αὐτὰρ κόσμος ὅλος τε ἀπειρεσίων ἀνθρώπων
Ἀλλήλους κτείνουσι μεμηνότες, ἐν δὲ κυδοιμῷ
Λιμοὺς καὶ λοιμοὺς θήσει Θεὸς, ἠδὲ κεραυνοὺς
Ἀνθρώποις, οἳ ἄτερθε δίκης κρίνουσι θέμιστας.
Λεῖψις δ' ἀνθρώπων ἔσται κατὰ κόσμον ἅπαντα,

SIBYLLINISCHE WEISSAGUNGEN.

ZWEITES BUCH.

Aber als Gott dem weisen Gesange ein Ende verliehen,
Viel von mir angefleht, hat er wiederum in die Brust mir
Vielerfreuende Stimme für göttliche Worte geleget.
Ganz am Körper erbebend sage ich dies, denn ich weiss nicht
Was ich erzähle, doch Gott befiehlt Jedwedes zu sagen.
Wann aber einst auf der Erd' Erdbeben und schrecklicher Blitzstrahl,
Donner mit Blitzen gemengt sein wird, und Mehlthau auf Erden,
Flüchtiger Wölfe rasende Wuth und Männer-Ermorden;
Untergang auch die Menschen befällt und die brüllenden Stiere,
Auch vierfüssige Thiere und Arbeit ertragende Esel,
Und die Ziegen und Schafe: Alsdann wird brachliegendes Saatland,
Unbekümmert darum verlassen werden in Menge.
Aus auch bleiben die Früchte, im Schwung sind Sklavenverkäufe
Bei der Sterblichen Mehrzahl, und auch der Tempel Beraubung.
Dann wird hernach das zehnte Geschlecht der Menschen erscheinen,
Wann der Erderschütternde Gott, der Sender der Blitze,
Bricht den Eifer der Götzen entzwei und schüttelt die Volksschaar
Des siebenhügligen Rom's, und gewaltiger Reichthum zu Grund geht,
Von stark loderndem Feuer verzehrt und der Flamme des Vulkan.
Und es stürzt vom Himmel herab dann blutiger Regen.

. . . . . .

Aber die sämmtliche Welt mit all den unzähligen Menschen,
Tödten einander in rasender Wuth, und bei der Verwirrung
Sendet noch Gott den Hunger, die Pest und Blitze den Menschen,
Die der Gerechtigkeit baar das Recht handhaben als Richter.
Und in der sämmtlichen Welt wird so an Menschen es mangeln,

Ὡς, ἴχνος εἰ κατίδοι τις ἐπὶ χθονὶ, θαυμάσειεν,
Ἀνθρώπου. Τότε δ᾽ αὖ τε μέγας Θεὸς αἰθέρι ναίων
Ἀνδρῶν εὐσεβέων σωτὴρ κατὰ πάντα γένηται.
Καὶ τότε δ᾽ εἰρήνη τε βαθεῖά τε σύνεσις ἔσται,
Καὶ γῆ καρποφόρος καρποὺς πάλι πλείονας οἴσει,
Οὐδὲ μεριζομένη, οὐδ᾽ εἰσέτι λατρεύουσα.
Πᾶς δὲ λιμὴν, πᾶς ὅρμος ἐλεύθερος ἀνθρώποισιν
Ἔσσεται, ὡς πάρος ἦεν, ἀναιδείη τ᾽ ἀπολεῖται.
Καὶ τότε δὴ μέγα σῆμα Θεὸς μετέπειτα ποιήσει·
Λάμψει γὰρ στεφάνῳ λαμπρῷ παρομοίιος ἀστὴρ,
Λαμπρὸς, παμφαίνων ἀπ᾽ οὐρανοῦ αἰγλήεντος
Ἥμασιν οὐκ ὀλίγοις· τότε γὰρ στέφος ἀνθρώποισι
Λείξει ἀπ᾽ οὐρανόθεν ἐναγώνιον ἀθλεύουσι.
Καὶ τότε γὰρ μέγας αἰὼν εἰσελλαστικὸς ἔσται
Εἰς πόλιν οὐράνιον, γ᾽ οἰκουμενικὸς δέ τε πᾶσιν
Ἔσσεται ἀνθρώποισιν, ἔχων κλέος ἀθανασίας.
Καὶ τότε πᾶς λαὸς ἐπὶ ἀθανάτοισιν ἀέθλοις
Ἀθλήσει νίκης περικαλλέος. Οὐ γὰρ ἀναιδῶς
Ἀργυρίου τις ἐκεῖ δύναται στέφος ὠνήσασθαι.
Ἁγνὸς γὰρ Χριστὸς τούτοις τὰ δίκαια βραβεύσει,
Καὶ δοκίμους στέψει, αὐτὰρ θέμα μάρτυσι δώσει
Ἀθάνατόν τ᾽ ἄχρι θανάτου τὸν ἀγῶνα ποιοῦσι.
Παρθενικοῖς δὲ δραμοῦσι καλῶς ἄφθαρτον ἄεθλον
Δώσει τοῦδ᾽ ἄθλου, καὶ τοῖς τὰ δίκαια νέμουσιν
Ἀνθρώποις πᾶσί τε, καὶ ἔθνεσιν ἀλλοδαποῖσι,
Τοῖς ὁσίως ζώουσι, Θεὸν δ᾽ ἕνα γινώσκουσιν.
Οἳ δ᾽ ἀγαπῶσι γάμον τε, γαμοκλοπιῶν τ᾽ ἀπέχονται,
Δώσει πλούσια δῶρα, αἰώνιον ἐλπίδα καὶ τοῖς.
Πᾶσά τε γὰρ ψυχὴ μερόπων Θεοῦ ἐστι χάρισμα,
Κοὐ θέμις ἀνθρώπους τὴν ἄλγεσι πᾶσι μιαίνειν.
[Μὴ πλουτεῖν ἀδίκως, ἀλλ᾽ ἐξ ὁσίων βιοτεύειν.
Ἀρκεῖσθαι παρεοῦσι, καὶ ἀλλοτρίων ἀπέχεσθαι.
Ψεύδεα μὴ βάζειν, τὰ δ᾽ ἐτήτυμα πάντα φυλάσσειν.
Μηδὲ μάτην εἴδωλα σέβου· τὸν δ᾽ ἄφθιτον αἰεὶ
Πρῶτα Θεὸν τίμα, μετέπειτα [δὲ] σεῖο γονῆας.
Πάντα δίκαια νέμειν, μήδ᾽ εἰς κρίσιν ἄδικον ἔλθῃς.
Μὴ ῥίψῃς πενίην ἀδίκως, μὴ κρῖνε προσώπῳ·
Ἢν σὺ κακῶς δικάσῃς, μετέπειτα Θεός σε δικάσει.
Μαρτυρίην ψευδῆ φεύγειν, τὰ δίκαια δ᾽ ἀγορεύειν.
Παρθενίην τηρεῖν. Ἀγάπην δ᾽ ἐν πᾶσι φυλάσσειν.
Μέτρα νέμειν τὰ δίκαια· καλὸν δ᾽ ἐπίμετρον ἅπασι.

Dass, wenn Einer erblickt die Fussspur des Menschen auf Erden,
Er sich verwundert. Doch dann wird der grosse Himmelsbewohner
Gott wiederum für die Menschen als Retter in Allem erscheinen.
Auch herrscht tiefer Friede alsdann und verständig Benehmen;
Und viel Früchte wird dann wiederum die fruchtbare Erde
Tragen, sie die nicht mehr getheilt ist und nicht mehr geknechtet.
Jeglicher Hafen und jegliche Rhede wird frei für die Menschen
Sein, so wie früher es war, und schamlos Gebahren verschwindet.
Und Gott wird alsdann ein grosses Zeichen vollführen:
Denn es erglänzet ein Stern einem leuchtenden Kranze fast ähnlich,
Glänzend und überall leuchtend herab vom strahlenden Himmel,
Und nicht wenige Tage hindurch: Denn vom Himmel wird er dann
Zeigen den Siegerkranz den Menschen, die ihn sich erkämpfen.
Dann aber kömmt auch die Zeit des festlichen, grossen Triumphzugs
In die himmlische Stadt; und zwar sämmtlichen Menschen gemeinsam
Wird auf Erden er sein und den Ruhm der Unsterblichkeit haben.
Und es wird jedes Volk alsdann in unsterblichen Kämpfen
Ringen um herrlichen Sieg; denn nicht wird einer dann schamlos
Dort einen silbernen Kranz um Geld sich können erwerben.
Denn der heil'ge Gesalbte wird Diesen zutheilen was Recht ist,
Und die Bewährten bekränzen, und auch unsterblichen Kampfpreis
Seinen Märtyrern geben, die bis zum Tode gekämpfet.
Den Jungfräulichen aber, die rühmlich strebten, verleiht er
Den unsterblichen Kampfpreis, und welche Gerechtigkeit übten
Unter den Menschen zumal und den Völkern anderer Länder,
Welche untadlig gelebt und Gott den Einen erkannten.
Denen jedoch, die lieben die Eh' und der Buhlerei fremd sind,
Gibt er reiche Geschenke dazu und ewige Hoffnung.
Denn eine jegliche Seele der Menschen ist göttliche Gabe,
Und kein Recht hat der Mensch sie mit allerlei Schmach zu beflecken.
Werde durch Unrecht nicht reich, sondern lebe von dem was erlaubt ist.
Sei mit dem, was du hast, vergnügt; halte fern dich von Fremdem.
Führe nicht Lügen im Mund, und Alles bewahre, was wahr ist.
Eitele Götzen verehr' nicht; sondern vor Allem verehre
Den unveränderlich ewigen Gott und dann deine Eltern.
Alles was Recht ist thu', und gehe in unrecht Gericht nicht.
Nicht verstosse mit Unrecht den Armen, nicht richte partheiisch.
Richtest du schlecht, dann wird hernach Gott selber dich richten.
Falsches Zeugniss flieh und nur verkünde was Recht ist.
Wahre die Reinheit dir und beachte in Allem die Liebe.
Gib das gehörige Maass; gut ist Zugabe für Alles.

Σταθμὸν μὴ κρούειν ἑτερόζυγον, ἀλλ᾽ ἴσον ἕλκειν.
Μὴ δ᾽ ἐπιορκήσῃς μήτ᾽ ἀγνὼς μήτε ἑκοντί·
Ψεύδορκον στυγέει Θεὸς, ὅττι κεν ἄν τις ὀμόσσῃ.
Ἐξ ἀδίκων ἔργων δῶρον χερὶ μήποτε δέξῃ.
Σπέρματα μὴ κλέπτειν· ἐπαράσιμος ὅστις ἕληται
Εἰς γενεὰς γενεῶν, [διὰ] σκορπισμὸν βιότοιο.
Μήτ᾽ ἀρσενοκοιτεῖν, μὴ συκοφαντεῖν, μήτε φονεύειν.
Μισθὸν μοχθήσαντι δίδου· μὴ θλῖβε πένητα.
Γλώσσῃ νοῦν ἐχέμεν· κρυπτὸν λόγον ἐν φρεσὶν ἴσχειν.
Ὀρφανικοῖς, χήραις, ἐπιδεομένοις δὲ παράσχου.
Μήτ᾽ ἀδικεῖν ἐθέλῃς, μήτ᾽ οὖν ἀδικοῦντα ἐάσῃς.
Πτωχοῖς εὐθὺ δίδου, μήτ᾽ αὔριον ἐλθέμεν εἴπῃς.
Ἰδρῶσι σταχύων χειρὶ χρῄζοντι παράσχου.
Ὅς δ᾽ ἐλεημοσύνην παρέχει, Θεῷ οἶδε δανείζειν.
Ῥύεται ἐκ θανάτου ἕλεος, κρίσις ὁππότ᾽ ἂν ἔλθῃ.
Οὐ θυσίην, ἔλεος δὲ θέλει Θεὸς ἀντὶ θυσίης.
Ἔνδυσον οὖν γυμνὸν, μετάδος πεινῶντ᾽ ἄρτων σῶν,
Ἄστεγον εἰς οἶκον δέξαι, καὶ τυφλὸν ὁδήγει.
Ναυηγοὺς οἴκτειρον· ὁ γὰρ πλοῦς ἐστὶν ἄδηλος.
Χεῖρα πεσόντι δίδου· σῶσον δ᾽ ἀπερίστατον ἄνδρα.
Κοινὰ πάθη πάντων, βίοτος τροχός, ἄστατος ὄλβος.
Πλοῦτον ἔχων, σὴν χεῖρα πενητεύουσιν ὄρεξον.
Ὧν σοι ἔδωκε Θεὸς, καὐτὸς χρῄζοντι παράσχου.
Κοινὸς πᾶς ὁ βίος μερόπων· ἄνισος δὲ τέτυκται.
Μήποτε, ἄνδρα πένητα ἰδὼν, σκώψῃς ἐπέεσσι,
Μηδὲ κακῶς γε προσείπῃς μωμητόν τινα φῶτα.
Τὸ ζῆν ἐν θανάτῳ δοκιμάζεται· εἴ τις ἔπραξεν
Ἔννομον ἢ δίκαιον, διακρίνεται εἰς κρίσιν ἐλθών.
Μηδὲ φρένας βλάπτειν οἴνῳ, μηδὲ πίνειν ἄμετρα.
Αἷμα δὲ μὴ φαγέειν, εἰδωλοθύτων δ᾽ ἀπέχεσθαι.
Τὸ ξίφος ἀμφιβαλοῦ μὴ πρὸς φίλον, ἀλλ᾽ ἐπ᾽ ἄμυναν·
Εἴθε δὲ μὴ χρήσῃ, μήτ᾽ ἔννομα, μήτε δικαίως·
Κἂν γὰρ ἀποκτείνῃς ἐχθρὸν, σέο χεῖρα μιαίνεις.
Ἀγροῦ γειτονέοντος ἀπόσχου, μὴ [τὸν] δ᾽ ἄρ᾽ ὑπερβῇς·
Πᾶς ὅρος ἐστὶ δίκαιος, ὑπερβασίη δ᾽ ἀλεγεινή.
Κτῆσις ὀνήσιμός ἐσθ᾽ ὁσίων, ἀδίκων δὲ πονηρά.
Μηδέ τιν᾽ αὐξόμενον λωβήσῃ καρπὸν ἀρούρης.
Ἔστωσαν δ᾽ ὁμότιμοι ἐπήλυδες ἐν πολίηταις·
Πάντες γὰρ ξενίης περιρήσσονται πολυμόχθου,
Ὡς ξένοι ἀλλήλων· ξεῖνος δέ γε οὔτις ἐν ὑμῖν
Ἔσσετ᾽, ἐπεὶ πάντες βροτοὶ αἵματος ἐξ ἑνός ἐστε,

Stosse die Wage nicht seitwärts, sondern bring sie zur Schwebe.
Schwöre nicht falsch, sei unwissentlich es, oder sei es mit Willen:
Den Meineidigen hasst Gott, um was er immer auch schwöret.
Nimm nie an ein Geschenk mit der Hand, was gottlosen Ursprungs.
Stehle nicht Saamen; verflucht wird sein auf ewige Zeiten,
Wer nur immer ihn wegnimmt, wegen des Raubes der Nahrung.
Treibe mit Knaben nicht Unzucht; verläumde nicht; übe nicht Todschlag.
Arbeitern gib ihren Lohn, und bereite nicht Armen Betrübniss.
Sei im Reden verständig, Geheimes bewahre im Herzen.
Elterlosen steh bei, und Wittwen und denen, die arm sind.
Thue mit Willen nicht Unrecht, auch lasse kein Unrecht geschehen.
Gieb den Armen alsbald, und heiss sie nicht kommen auf Morgen.
Von der Erndte Ertrag mittheile dem Armen freigebig.
Wer aber Almosen reicht, der weiss, dass Gott er es darleiht.
Mitleid rettet vom Tod, wann dereinst heran das Gericht kommt.
Nicht will Opfer der Herr; Erbarmen verlangt er statt Opfer.
Kleide den Nackten und gib dem Dürftigen von deinem Brode,
Obdachlose nehme in's Haus und geleite den Blinden.
Mitleid erzeige den Schiffbruch Erlittnen; unsicher ist Schiffahrt.
Fallenden reiche die Hand, und rette den hilflosen Menschen.
Leiden sind Allen gemein; Glück wechselt; ein Kreis ist das Leben.
Wenn du Reichthum besitzest, so spende dem Dürftigen Hilfe.
Was dir Gott immer verlieh, davon darreiche dem Armen.
Sämmtlichen Menschen ist's Leben gemein, doch ist's ungleich vertheilet.
Nie, wenn du siehst einen dürftigen Mann, verhöhn' ihn mit Worten;
Hart selbst fahre nicht an einen Mann der tadelungswerth ist.
Prüfung des Lebens erfolgt in dem Tode; ob einer gethan hat
Unrecht oder was Recht, das wird im Gerichte entschieden.
Nicht betäube mit Wein die Sinne und trink nicht unmässig.
Iss kein Blut und geniesse kein Fleisch, das man Götzen geopfert.
Gegen den Freund umgürte das Schwert nicht; sondern zum Schutze.
Besser gebrauchst du es nicht, sei's rechtlich oder im Unrecht:
Denn erlegst du den Feind, so sind deine Hände beflecket.
Bleib von dem Acker des Nachbars und schreite nicht einmal darüber;
Jegliche Grenze ist rechtlich und Schmerz bringt die Ueberschreitung.
Nützlich ist des Erlaubten Erwerb; der böse bringt Schaden.
Auch keine wachsende Frucht des Feldes darfst du verletzen.
Fremdlinge ehret bei euch, gleichwie die Bürger ihr ehret.
Denn das mühvolle Gastrecht sucht ein Jeder zu schmälern,
Gleich als seien sie fremd zu einander. Doch Keiner sei Fremdling
Unter euch, da ihr ja alle Menschen seid Eines Geblütes,

Χώρη δ' οὔτι βέβαιον ἔχει τόπον ἀνθρώποισι.
Μηδὲ θέλῃς πλουτεῖν, μηδ' εὔχου· ἀλλὰ τόδ' εὔχου,
Ζῆν ἀπὸ τῶν ὀλίγων, μηδέν τε ἔχοντα ἄδικον.
Ἡ φιλοχρημοσύνη μήτηρ κακότητος ἁπάσης.
Μὴ πόθος εἰς χρυσὸν ἢ εἰς ἄργυρον· ἐν δ ἄρα καὶ τοῖς
Ἔσσεται ἀμφήκης θυμοφθόρος ἔνθα σίδηρος.
Χρυσὸς ἀεὶ δόλος ἐστὶ καὶ ἄργυρος ἀνθρώποισι.
Χρυσὲ κακῶν ἀρχηγὲ, βιοφθόρε, πάντα χαλέπτων,
Εἴθε σε μὴ θνητοῖσι γενέσθαι πῆμα ποθεινόν·
Σοῦ γὰρ ἕκητι μάχαι τε, λεηλασίαι τε, φόνοι τε,
Ἐχθρὰ δὲ τέκνα γονεῦσιν, ἀδελφειοί τε συναίμοις.
Μηδὲ δόλους ῥάπτειν· μὴ πρὸς φίλον ἦτορ ὁπλίζειν.
Μήθ' ἕτερον κεύθῃς κραδίῃ [νόον], ἄλλ' ἀγορεύων·
Μήδ', ὡς πετροφυὴς πολύπους, κατὰ χώραν ἀμείβειν.
Πᾶσιν δ' ἁπλόος ἴσθι, τά τ' ἐκ ψυχῆς ἀγόρευε.
Ὅστις ἑκὼν ἀδικεῖ, κακὸς ἀνήρ· ὃς δ' ὑπ' ἀνάγκης,
Οὐκ ἐρέω τὸ τέλος· βουλὴ δ' εὐθύνεθ' ἑκάστου.
Μὴ γαυροῦ σοφίῃ, μήτ' ἀλκῇ, μήτ' ἐνὶ πλούτῳ·
Εἷς Θεός ἐστι σοφὸς, δυνατός θ' ἅμα, καὶ πολύολβος.
Μηδὲ παροιχομένοισι κακοῖς τρύχου τεὸν ἦτορ·
Οὐκέτι γὰρ δύναται τὸ τετυγμένον εἶναι ἄτυκτον.
Μὴ προπετὴς ἐς χεῖρα· χαλίνου δ' ἄγριον ὀργήν·
Πολλάκις γὰρ πλήξας, ἀέκων φόνον ἐξετέλεσσε.
Ἔστω κοινὰ πάθη, μηδὲν μέγα, μηδ' ὑπέροπλον.
Οὐκ ἀγαθὸν πλεονάζον ἔφυ θνητοῖσιν ὄνειαρ.
Ἡ πολλὴ δὲ τρυφὴ πρὸς ἀμέτρους ἕλκετ' ἔρωτας.
Ὑψαυχεῖ δ' ὁ πολὺς πλοῦτος, καὶ ἐς ὕβριν ἀέξει.
Θυμὸς ὑπερχόμενος μανίην ὀλοόφρονα τεύχει.
Ὀργὴ δ' ἔστιν ὄρεξις, ὑπερβαίνουσα δὲ, μῆνις.
Ζῆλος τῶν ἀγαθῶν ἐσθλὸς, φαύλων δέ γε φαῦλος.
Τόλμα κακῶν ὁλοή· ἀγαθῶν δέ γε, κῦδος ὀπάζει.
Σεμνὸς ἔρως ἀρετῆς· ὁ δὲ Κύπριδος, αἶσχος ὀφέλλει.
Ἡδὺς ἀγανόφρων κικλήσκεται ἐν πολιήταις.
Ἐν μέτρῳ φαγέειν, πιέειν, καὶ μυθολογεύειν·
Πάντων μέτρον ἄριστον· ὑπερβασίη δ' ἀλεγεινόν.
Μὴ φθονερὸς, μὴ ἄπιστος ἔσῃ, μὴ λοίδορος ἴσθι,
Μηδὲ κακογνώμων, μὴ ψευδαπάτης ἀμέτρητος.
Σωφροσύνην ἀσκεῖν, αἰσχρῶν δ' ἔργων ἀπέχεσθαι.
Μηδὲ μιμοῦ κακότητα, δίκῃ δ' ἀπάλειψον ἄμυναν·
Πειθὼ μὲν γὰρ ὄνειαρ, ἔρις δ' ἔριν ἀντιφυτεύσει.
Μὴ πίστευε τάχιστα, πρὶν ἀτρεκέως πέρας ὄψει.]

Und einen bleibenden Ort kein Land enthält für die Menschen.
Strebe nach Reichthum nicht, und wünsche nichts ausser dem Einen,
Dass du von Wenigem lebst, und mit Unrecht nichts du besitzest.
Streben nach Reichthum ist die Mutter von jeglicher Bosheit.
Nicht verlange nach Gold oder Silber; es birgt sich in diesem
Ein zweischneidiges Eisen, welches die Herzen durchbohret.
Silber nnd Gold ist stets für die Menschen ein trüglicher Fallstrick.
Gold, aller Uebel Quell, Vernichtung und Unglück bereitend
Allwärts, wärst du doch nicht ein begehrliches Unheil den Menschen:
Denn um dich werden Schlachten geliefert, ist Mord und Beraubung,
Zürnet den Eltern das Kind, Geschwister den nächsten Verwandten.
Sinne auf Trug nicht, und nicht gegen Freunde ergreife die Waffen.
Birg im Herzen nicht anderen Sinn als in Worten du aussprichst.
Aendre dich nicht nach dem Ort, gleich felsentsprossnen Polypen.
Aufrichtig sei gegen Alle und sprich so wie dir um's Herz ist.
Schlecht ist der Mann, der freiwillig frevelt; doch welchen die Noth zwingt,
Nicht behaupte ich's dann; doch ehrlich sei Jegliches Wille.
Sei auf Weisheit nicht stolz, auch auf Stärke nicht, oder auf Reichthum.
Gott nur allein ist weise, voll Macht und höchlich beglücket.
Quäle das Herz in Sorgen dir nicht mit vergangenen Uebeln;
Denn ungeschehen kann nicht das werden, was Einmal gescheh'n ist.
Brauche nicht schnelle Gewalt und zügle das heftige Zürnen:
Ohne zu wollen hat oft wer schlug eine Mordthat verübet.
Leiden seien gemeinsam, nichts gross und nichts übermüthig.
Ueberflüssiges Gut ist nicht den Menschen zum Nutzen;
Aber der Ueppigkeit Uebermaass bringt ihn zu maassloser Wollust.
Grosses Vermögen bläht auf und stürzt dich hinein in den Hochmuth.
Zorn der dich übermannt bereitet verderbliche Wuth dir.
Zorn ist Aufregung nur; doch darüber hinaus ist er Wüthen.
Eifer der Guten ist gut, aber schlecht ist der Eifer der Bösen.
Kühnheit der Bösen ist schädlich, der Guten hat Ruhm im Gefolge.
Liebe zur Tugend ist hehr; der Kypris Liebe bringt Schande.
Der sanftmüthige Mann gilt als angenehm unter den Bürgern.
Esse und trinke mit Maass und beobachte Maass in dem Reden.
Maass ist von Allem das Beste; doch Schmerz bringt die Ueberschreitung.
Sei nicht neidisch noch unzuverlässig und lästere Niemand,
Noch sei übelgesinnt noch ein maassloser Betrüger.
Uebe Besonnenheit und enthalte dich schändlicher Dinge.
Ahme nicht Schlechtigkeit nach, durch Gerechtigkeit tilge die Rache:
Denn Ueberredung ist nützlich, doch Zorn bringt Zürnen zu wege.
Glaube nicht allzu schnell, bis genau du siehest das Endziel.

Οὗτος ἀγὼν, ταῦτ᾽ ἐστὶν ἀέθλια, ταῦτα βραβεῖα,
Τοῦτο πύλη ζωῆς, καὶ εἴσοδος ἀθανασίας,
Ἣν Θεὸς οὐράνιός [γε] δικαιοτάτοις ἀνθρώποις
Ἔστησε νίκης ἐπαέθλιον· οἱ δὲ λαβόντες
Τὸ στέφος, ἐνδόξως εἰσέλθωσι διὰ ταύτης.
Ἀλλ᾽ ὁπόταν τόδε σῆμα φανῇ κατὰ κόσμον ἅπαντα,
Ἐκ γενετῆς παῖδες πολιοκρόταφοι γεγαῶτες,
Θλίψεις ἀνθρώπων τε λιμοὶ, λοιμοὶ, πόλεμοί τε,
Καιρῶν δ᾽ ἀλλαγίη, καὶ πένθιμα δάκρυα πολλὰ.
Αἵ, ὁπόσων παῖδες χώραις ἐνὶ θρηνήσονται,
Οἴκτρ᾽ ὀλοφυρόμενοι γονέας, ἐν φάρεσι σάρκας
Ἐνθέντες θάψουσιν ἐπὶ χθονὶ μητέρι λαῶν,
Αἵμασι καὶ κονίῃσι πεφυρμένοι. Ὦ μέγα δειλοὶ
Ὑστατίης γενεῆς φῶτες, κακοεργέες, αἰνοὶ,
Νήπιοι, οὐδὲ νοοῦντες ὅθ᾽, ἡνίκα φῦλα γυναικῶν
Μὴ τίκτωσιν, ἔφυ τὸ θέρος μερόπων ἀνθρώπων.
Ἡ δὲ συναίρεσις ἐγγὺς, ὅταν τινὲς ἀντὶ προφητῶν
Ψευδαπάται πελάσωσιν ἐπὶ χθονὶ φημίζοντες.
Καὶ Βελίαρ θ᾽ ἥξει, καὶ σήματα πολλὰ ποιήσει
Ἀνθρώποις. Τότε δὴ ὁσίων ἀκαταστασί᾽ ἀνδρῶν
Ἐκλεκτῶν πιστῶν τε, λεηλασίη τε γέννηται
Τούτων, ἠδ᾽ Ἑβραίων. Δεινὸς δ᾽ αὐτοῖς χόλος ἥξει,
Ἡνίκα δωδεκάφυλος ἀπ᾽ ἀντολίης λαὸς ἥξει
Ζητήσων λαὸν, ὃν ἀπώλεσεν Ἀσσύριος κλὼν,
Συμφύλων Ἑβραίων· ἔθνη δ᾽ ἐπὶ τοῖσιν ὀλοῦνται.
Ὕστερον αὖ ἄρξουσιν ὑπερμενέων ἀνθρώπων
Ἐκλεκτῶν πίστων Ἑβραίων, καταδουλώσαντες
Αὐτοὺς ὡς τὸ πάροιθεν, ἐπεὶ κράτος οὔποτε λείψει.
Ὕψιστος πάντων, πανεπίσκοπος, αἰθέρι ναίων,
Ὕπνον ἐπ᾽ ἀνθρώποις σκεδάσει, βλέφαρ᾽ ἀμφικαλύψας.
Ὦ μάκαρες θεράποντες, ὅσους ἐλθὼν ἀγρυπνοῦντας
Εὕρει ὁ δεσπόζων· τοὶ δ᾽ ἐγρήγορθεν ἅπαντες,
Πάντοτε προσδοκάοντες ἀκοιμήτοις βλεφάροισιν.
Ἥξει γάρ τ᾽ ἠὼς, ἢ δείλης, ἢ μέσον ἦμαρ·
Ἥξει δ᾽ ἀτρεκέως, καὶ ἔσσεται ὡς ἀγορεύω,
Ἔσσεται εὐδομένοις, ὅτ᾽ ἀπ᾽ οὐρανοῦ ἀστερόεντος
Ἄστρα τε πάντα μέσῳ ἐνὶ ἤματι πᾶσι φανεῖται
Σὺν δυσὶ φωστῆρσι, κατεπειγομένοιο χρόνοιο.
Καὶ τόθ᾽ ὁ Θεσβίτης γε, ἀπ᾽ οὐρανοῦ ἅρμα τιταίνων
Οὐράνιον, γαίῃ δ᾽ ἐπιβὰς, τότε σήματα τρισσὰ
Κόσμῳ ὅλῳ δείξει τε ἀπολλυμένου βιότοιο.

Dies ist der Kampf, dies ist das Bemühn und solches der Kampfpreis;
Das ist des Lebens Thür' und das der Unsterblichkeit Eingang,
Welchen der himmlische Gott den gerecht befundenen Menschen
Setzte als Siegespreis. Die aber, welche erhalten
Jenen Kranz, die werden mit Ruhm durch dieselbe hineingehn.
Wenn aber einst auf der ganzen Welt dies Zeichen erscheinet,
Kinder von der Geburt an ergraut sind an ihren Schläfen:
Dann überkömmt Drangsal die Menschen, Pest, Hunger und Kriege,
Wechsel der Zeit und viel an trauerentflossenen Thränen.
Wehe, wie Vieler Kinder werden dann weinen im Lande,
Bitter die Eltern beklagend und sie, mit Leinwand umhüllet,
Legen als Leichen hinein in die Erde, die Mutter der Völker,
Selbst mit Blut und Staub überdeckt. O des letzten Geschlechtes
Elende Menschen, entsetzliche ihr und Frevel-Vollbringer;
Thoren, die ihr nicht merkt, dass, wenn der Frauen Geschlecht einst
Nicht mehr gebiert, die Erndte der sterblichen Menschen gekommen.
Und die Vernichtung ist nah, wenn Einige, statt der Propheten
Lügenhafte Betrüger, sich nah'n und reden auf Erden.
Auch kömmt Beliar dann und wird viele Wunder verrichten
Unter den Menschen. Dann kommen in Nöthen die heiligen Männer
Und die erwählten Getreuen, und sie und auch die Hebräer
Werden beraubt. Doch kömmt über sie ein schreckliches Zürnen,
Wann vom Aufgange her das Volk der zwölf Stämme heranzieht,
Suchend ein Volk, das Assurs Sprössling zu Grunde gerichtet,
Stammverwandter Hebräer; und dies wird die Heiden vernichten.
Später jedoch werden sie wiederum die gewaltigen Menschen
Die auserwählten getreuen Hebräer beherrschen, wie vorher
Sie unterjochen; denn noch verlässt sie nicht ihre Stärke.
Der Allerhöchste, der Alles erschaut und den Himmel bewohnet,
Senkt auf die Menschen den Schlaf, ihre Augenlieder umhüllend.
O glückselige Diener, welche der Herr wann er ankommt
Wachsam findet und die vom Schlafe sämmtlich erwacht sind,
Die ausharreten stets mit nimmer ermüdeten Augen.
Denn er wird kommen am Morgen, oder spät, oder mitten am Tage;
Aber er kömmt ganz gewiss, und wie ich's verkünde geschieht es.
Während man schläft wird's geschehn, wenn am sternebesäeten Himmel
Mitten am Tag die sämmtlichen Sterne sind sichtbar für Alle
Sammt den zwei Leuchten am Himmel, und schnell die Zeit dahinschwindet.
Und der Thesbite wird dann den himmlischen Wagen am Himmel
Führen entlang und die Erde betretend ein dreifaches Zeichen
Geben der sämmtlichen Welt, die Zeichen des endenden Lebens.

Αἵ, ὁπόσαι κείνῳ ἐνὶ ἤματι φορτοφοροῦσαι
Γαστέρι φωραθῶσιν, ὅσαι δέ τε νήπια τέκνα
Γαλουχοῦσιν, ὅσοι δ' ἐπὶ κύμασι ναιετάουσιν.
Αἵ, ὁπόσαι κείνην τὴν ἡμέραν ἀθρήσουσιν·
Ἀχλὺς γὰρ ζοφερὴ σκεπάσει τὸν ἀπείρονα κόσμον
Ἀντολίης δύσεώς τε μεσημβρίας τε καὶ ἄρκτου.
Καὶ τότε δὴ ποταμός θ' ὁ μέγας πυρὸς αἰθομένοιο
Ῥεύσει ἀπ' οὐρανόθεν, καὶ πάντα τόπον δαπανήσει,
Γαῖάν τ', ὠκεανόν τε μέγαν, γλαυκὴν τε θάλασσαν,
Λίμνας καὶ ποταμοὺς, πηγὰς, καὶ ἀμείλιχον ᾅδην,
Καὶ πόλον οὐράνιον. Ἀτὰρ οὐράνιοι φωστῆρες
Εἰς ἓν συῤῥήξουσι, καὶ εἰς μορφὴν πανέρημον.
Ἄστρα γὰρ οὐρανόθεν τε θαλάσσῃ πάντα πεσεῖται.
Ψυχαὶ δ' ἀνθρώπων πᾶσαι βρύξουσιν ὀδοῦσι,
Καιόμεναι ποταμῷ καὶ θείῳ καὶ πυρὸς ὁρμῇ
Ἐν δαπέδῳ μαλερῷ, τέφρα δέ τε πάντα καλύψει.
Καὶ τότε χηρεύσει στοιχεῖα πρόπαντα τὰ κόσμου,
Ἀὴρ, γαῖα, θάλασσα, φάος, πόλος, ἤματα, νύκτες·
Κοὐκέτι πωτήσονται δι' ἠέρος ἄπλετοι ὄρνεις,
Οὐ ζῶα νηκτὰ θάλασσαν ὅλως ἔτι νηχήσονται,
Οὐ ναῦς ἐμφορτος ἐπὶ κύμασι ποντοπορήσει,
Οὐ βόες ἰθυντῆρες ἀροτρεύσουσιν ἄρουραν,
Οὐκ ἦχος δένδρων ἀνέμων ὕπο· ἀλλ' ἅμα πάντα
Εἰς ἓν χωνεύσει καὶ εἰς καθαρὸν διαλέξει.
Ἡνίκα δ' ἀθανάτου Θεοῦ ἄφθιτοι ἀγγελτῆρες
Ἥξουσι Μιχαὴλ, Γαβριὴλ, Ῥαφαὴλ τ' Οὐριὴλ,
Αὐτοὶ ἐπιστάμενοι ὅσα τις κακὰ πρόσθεν ἔρεξεν
Ἀνθρώπων, ψυχάς τε ἀπὸ ζόφου ἠερόεντος
Εἰς κρίσιν ἄξουσι πάσας ἐπὶ βῆμα Θεοῖο
Ἀθανάτου, μεγάλου. Εἷς γὰρ μόνος ἄφθιτός ἐστιν.
Αὐτὸς ὁ παντοκράτωρ, θνητῶν ὁ δικασπόλος ἔσται.
Καὶ τότε νερτερίοις ψυχὰς, καὶ πνεῦμα, καὶ αὐδὴν
Λώσει ἐπουράνιος θεὸς, ὀστέα θ' ἁρμοσθέντα
Ἁρμοῖς παντοίοις, σαρξὶν δέ τε πάσαις σάρκας,
Νεύρεσιν νεῦρά τε, καί τε φλέβεσσιν ἁπάσαις αἷμα,
Δέρμα δέ, γ' ἐν [χροΐ] αἱ πρὶν ἔθειραι εἰσαῦθις φύσουσιν·
Ἀμβροσίως πηχθέντα καὶ ἔμπνοα κινηθέντα
Σώματ' ἐπιχθονίων μίαν ἡμέραν ἀνστήσονται.
Καὶ τότ' ἀμειλίκτοιο καὶ ἀῤῥήκτου ἀδάμαντος
Κλεῖθρα πέλωρα πυλῶν τε ἀχαλκεύτου ἄϊδαο
Ῥηξάμενος Οὐριὴλ μέγας ἄγγελος εὐθὺ βαλεῖται,

Wehe dann allen zumal jenes Tags, die schwangeren Leibes
Werden befunden und die mit Milch unmündige Kindlein
Säugen, oder auch die, welche wohnen auf wogender Meerfluth.
Weh ihnen all insgesammt, welche jenen Tag werden sehen:
Denn stockfinstere Nacht wird die sämmtliche Welt überschatten
Gegen den Aufgang hin, gen Untergang, Mittag und Norden.
Und dann wird ein mächtiger Strom von brennendem Feuer
Strömen vom Himmel herab und alle Welträume vernichten,
Festland, bläuliches Meer und des grossen Oceans Fluthen,
See'n und Flüsse und Quellen, selbst den unerbittlichen Hades;
Auch des Himmels Achse. Es werden die Lichter des Himmels
Fliessen zusammen in Eins und nehmen wüste Gestalt an.
Denn es fallen in's Meer vom Himmel die sämmtlichen Sterne.
Aber die Seelen der Menschen zumal werden knirschen mit Zähnen,
Wenn in dem Schwefelstrom und im Drange des Feuers sie brennen,
In dem entsetzlichen Land, und Asche wird Alles bedecken.
Und es veröden alsdann die sämmtlichen Welt-Elemente,
Luft, Meer, Erde und Licht, der Himmel, die Tage und Nächte.
Nicht mehr werden die Luft die geschwinden Vögel durchfliegen,
Nie mehr zieh'n durch Meeresfluth die schwimmenden Thiere;
Kein beladenes Schiff wird mehr auf den Wellen hinfahren;
Nicht mehr pflügende Stiere den Acker mit Furchen durchschneiden;
Nicht mehr ächzen die Bäume vom Sturm; sondern alles zusammen
Schmilzt er in Einen Guss, und läutert es, bis dass es rein ist.
Aber wenn dann des unsterblichen Gottes ewige Boten,
Michael, Gabriel, Raphael und Engel Uriel kommen,
Welche, was immer vordem die Menschen Böses begangen,
Wissen; alsdann werden sie alle Seelen aus nebligem Dunkel
Führen herbei zum Gericht, zum Thron des unsterblichen, grossen
Gottes; denn er allein ist einzig und unvergänglich.
Er der Herrscher des All, er wird die Sterblichen richten.
Und den Gestorbenen wird alsdann der Himmlische geben
Leben und Geist und Sprache, Gebein auch gefügt ineinander,
Mannigfachen Gefüges, Fleisch mit allerlei Fleische,
Nerven zu Nerven gefügt, und Blut in sämmtlichen Adern;
Haut auch, und in der Haut des Kopfes spriesset das Haupthaar;
Alles unsterblich gefügt und beseelet und sich bewegend:
So werden Eines Tags die menschlichen Leiber erstehen.
Und dann wird entzwei an des Hades gediegenen Thoren
Brechen die mächtigen Riegel von hartem, sehr festem Demante
Uriel der mächtige Engel und bald darnieder sie legen,

Καὶ πάσας μορφὰς πολυπενθέας εἰς κρίσιν ἄξει,
Εἰδώλων τὰ μάλιστα παλαιγενέων Τιτήνων,
Ἠδέ τε Γιγάντων, καὶ τόθ' ὅσους εἶλε κατακλυσμὸς,
Καὶ τὰς ἐν πελάγεσσιν ἀπώλεσε κῦμα θαλάσσης,
Ἠδ' ὁπόσας θῆρες καὶ ἑρπετὰ καὶ πετεινὰ
Θοινήσαντο, ὅλας ταύτας ἐπὶ βῆμα καλέσσει·
Καὶ πάλιν, ὡς ἔφθειρεν ἐνὶ φλογὶ σαρκοφάγον πῦρ,
Καὶ ταύτας ἐπὶ βῆμα Θεοῦ στήσειεν ἀγείρας.
Ἡνίκα δ' ἀνστήσῃ νέκυας, μοίρας καταλύσας,
Καὶ καθίσῃ Σαβαὼθ Ἀδωναῖ ὑψικέραυνος
Εἰς θρόνον οὐράνιόν τε, μέγαν δέ τε κίονα πήξῃ,
Ἥξει δ' ἐν νεφέλῃ πρός τ' ἄφθιτον ἄφθιτος αὐτὸς
Ἐν δόξῃ Χριστὸς σὺν ἀμύμοσιν ἀγγελτῆρσι,
Καὶ καθίσει μεγάλῳ ἐπιδέξια βήματι, κρίνων
Εὐσεβέων βίοτον καὶ δυσσεβέων τρόπον ἀνδρῶν.
Ἥξει καὶ Μωσῆς ὁ μέγας φίλος ὑψίστοιο,
Σάρκας δυσάμενος. Ἀβραὰμ δ' αὐτὸς μέγας ἥξει,
Ἰσαὰκ ἠδ' Ἰακὼβ, Ἰησοῦς, Δανιὴλ ἠδ' Ἠλίας,
Ἀμβακαοὺμ, καὶ Ἰωνᾶς, καὶ οὓς ἔκταν Ἑβραῖοι.
Τοὺς δὲ μετ' Ἠρεμίαν ἐπὶ βήματι πάντας ὀλέσσει
Κρινομένους Ἑβραίους, ἵνα ἄξια ἔργα λάβωσι,
Καὶ τίσωσιν, ἅπερ βιότῳ θνητῷ τις ἔπραξε.
Καὶ τότε δὴ πάντες διὰ αἰθομένου ποταμοῖο
Καὶ φλογὸς ἀσβέστου διελεύσονθ'· οἵ τε δίκαιοι
Πάντες σωθήσοντ'· ἀσεβεῖς δ' ἐπὶ τοῖσιν ὀλοῦνται
Εἰς αἰῶνας ὅλους, ὁπόσοι κακὰ πρόσθεν ἔρεξαν,
Ἠδὲ φόνους ἐποίησαν, ὅσοι δὲ συνίστορές εἰσι,
Ψεῦσται, καὶ κλέπται, δόλιοί τ' οἰκοφθόροι δεινοὶ,
Λειπνολόχοι, καὶ κλεψίγαμοι, δύσφημα χέοντες,
Δεινοί θ', ὑβρισταί τ', ἄνομοί τ', εἰδωλολάτραι τε·
Ἠδ' ὁπόσοι μέγαν ἀθάνατον Θεὸν ἐγκατέλειψαν,
Βλάσφημοι δ' ἐγένοντο, καὶ εὐσεβέων κεραΐσται,
Πιστολέται, καὶ τῶν ἁγίων φθισήνορες ἀνδρῶν·
Ἠδ' ὁπόσοι δολίοις καὶ ἀναιδέσιν ἀμφιπροσώποις
Πρεσβύτεροι, γεραροί τε διήκονες εἰσορόωσιν,
Αἰδόμενοί γε κρίσιν τ' ἀδίκως ἑτέροισι ποιοῦντες,
Ψευδαπάται, φήμῃσι πεπεισμένοι, πλαζόμενοί τε,
Παρδαλίων τε λύκων ὀλοώτεροι, ἠδὲ κάκιστοι·
Ἠδ' ὁπόσοι μεγάλως ὑπερήφανοι· ἠδὲ τοκισταὶ,
Καὶ τόκον ἐκ τόκων συναθροίζοντες κατ' οἴκους,
Ὀρφανικοὺς χήρας τε καταβλάπτουσιν ἕκαστα·

Und zum Gericht sie führen hin all die betrübten Gestalten.
Und vor Allen zuerst die Gebilde der alten Titanen
Und der Giganten, uud wen nur immer die Sündfluth vertilgte.
Auch die, welche die Welle des Meers in den Fluthen hinwegnahm,
Und wen immer das Wild und die kriechenden Thiere und Vögel
Frassen: sie Alle zumal wird er zum Richtstuhle rufen.
Und wiederum die in Flammen vertilgt das fressende Feuer,
Sammeln wird er auch sie und bringen zum Richtstuhle Gottes.
Aber wann er die Todten erweckt und das Schicksal gelöset,
Und auf dem himmlischen Thron Adonai, der Donnrer der Höhe,
Zebaoth sitzet und wann die mächtige Säule gefestet:
Dann wird in Wolken heran zu dem Ew'gen der Ewige selber
Kommen in Herrlichkeit, Christus mit den herrlichen Engeln.
Und auf dem grossen Stuhle zur Rechten dann sitzt er und richtet
Ueber das Leben der Frommen und über der Gottlosen Wandel.
Moses wird auch, der grosse Freund des Höchsten, dann kommen,
Fleischumkleidet, und Abraham auch, der grosse, wird kommen,
Isaak und Jakob, Josua, Daniel und auch Elias;
Habakuk und Jonas, und wen die Hebräer getödtet.
Aber die nach Jeremias zu richtenden, alle Hebräer,
Diese wird der auf dem Richtstuhl vernichten, damit sie empfangen
Würdigen Lohn und büssen, was sie im Leben verübet.
Und es werden dann Alle hindurch durch den brennenden Strom gehn,
Und durch die Flamme, die nimmer erlischt. Jedoch die Gerechten
Werden alle gerettet hierbei. Die Gottlosen aber
Gehen auf ewig zu Grund, welche früherhin Böses verübet,
Oder die Mord vollbracht, oder welche nur Mitwisser waren,
Lügner und Diebe, Betrüger und böse Vermögensverschwender;
Auch die Schmarotzer und Buhler und die, welche Schmähworte reden,
Scheusale und Uebermüth'ge, Gesetzlose, Bilderanbeter,
Und wer immer von Gott, dem grossen, unsterblichen abfiel;
Und wer ein Lästerer war, und auch die Bedränger der Frommen,
Feinde des Glaubens und welche die heiligen Männer ermorden.
Auch die, welche voll Trug und schamlosen Doppelgesichtes,
Angesehne und Ehrfurcht gebietende Diener, beim Strafen
Richten mit Menschenfurcht und Unrecht üben an Andern;
Lügenhafte, voll Trug, die Gerüchten glauben und schwanken,
Schädlicher noch als Panther und Wölfe, die ärgsten der Menschen;
Und welche immer sich hoch überheben; und auch die Wuchrer,
Welche den Zins auf Zins in den Häusern scharren zusammen,
Kinder die elternlos sind, und Wittwen sämmtlich beschädgen;

Ἠδ' ὁπόσοι χήρῃσι καὶ ὀρφανικοῖσι διδοῦσιν
Ἐξ ἀδίκων ἔργων, ὁπόσοι δ' ἰδίων ἀπὸ μόχθων
Λόντες ὀνειδίζουσιν· ὅσοι δὲ γονεῖς ἐνὶ γήρᾳ
Κάλλιπον, οὔτε τίσαντες ὅλως, οὐ θρέπτρα γονεῦσιν
Ἀντιπαρασχόντες τε, ἀτὰρ θ' ὅσοι ἠπείθησαν,
Ἠδὲ καὶ ἀντεῖπον λόγον ἄγριον εἰς γενετῆρας·
Ἠδ' ὁπόσοι πίστεις τε ἀπηρνήσαντο λαβόντες,
Καὶ θεράποντες ὅσοι κατὰ δεσποτέων ἐγένοντο,
Καὶ πάλιν οἱ τὴν σάρκα ἀσελγείαις μιάναντες,
Ἠδ' ὁπόσοι ζώνην τὴν παρθενικὴν ἀπέλυσαν
Λάθρῃ μισγόμενοι, ὅσσαι δ' ἐνὶ γαστέρι φόρτους
Ἐκτρώσκουσιν, ὅσοι τοκετοὺς ῥίπτουσιν ἀθέσμως·
Φαρμακοὶ, ἢ καὶ φαρμακίδες· σὺν τοῖσι καὶ αὐτοὺς
Ὀργὴ ἀπουρανίοιο καὶ ἀφθάρτοιο Θεοῖο
Κίονι προσπελάσειεν, ὅπου περὶ κύκλον ἅπαντα
Ἀκάματος ποταμός τε ῥέει πυρός· τοὺς ἅμα πάντας
Ἄγγελοι ἀθανάτοιο Θεοῦ τοῦ αἰὲν ἐόντος,
Ἐν φλογίναις μάστιξι καὶ ἐν πυρίναις ἁλύσεσσι,
Δεσμοῖς ἀῤῥήκτοισι περισφίγξαντες ὕπερθεν,
Δεινοτάτως κολάσουσιν· ἔπειτα δὲ νυκτὸς ἀμολγῷ
Ἐν Γεένῃ θηρσὶν ὑπὸ ταρταρίοισι βαλοῦνται,
Πολλοῖς, δειμαλέοισιν, ὅπου σκότος ἔστιν ἄμετρον.
Ἀλλ' ὁπόταν πολλὰς κολάσεις ἐνιποιήσωνται
Πᾶσί τε οἷς κακὸν ἦτορ ἔην, ἀτὰρ ὕστερον αὖτε
Ἐκ ποταμοῦ μεγάλου πύρινος τροχὸς ἀμφικαθέξει
Αὐτοὺς, ὅτ' ἄρα τοῖσιν ἀτάσθαλα ἔργα μεμήλει.
Καὶ τότε θρηνήσουσιν ἐπ' ἄλλυδις ἄλλος ἄπωθεν
Οἰκτροτάτῃ μοίρῃ πατέρες καὶ νήπια τέκνα,
Μητέρες, ἠδέ τε τέκν' ὑπομάζια νηπιόεντα.
Οὐδέ σφιν δακρύων κόρος ἔσσεται, οὐδὲ μὲν αὐδὴ
Οἴκτρ' ὀλοφυρομένων ἐσακούσεται ἄλλυδις ἄλλου,
Ἀλλὰ μακρὰν ζοφόενθ' ὑπὸ τάρταρον εὐρώεντα
Τειρόμενοι βώσονται, ἐπ' οὐχ ὁσίοισι δὲ χώροις
Τίσουσι τρὶς τόσσον ὅσον κακὸν ἤλιτον ἔργον,
Λαιόμενοι πυρὶ πολλῷ· ἐπιβρύξουσι δ' ὀδοῦσι
Πάντες τηκόμενοι δίψῃ μαλερῇ τε βίῃ τε,
Καὶ καλέσουσι καλὸν τὸ θανεῖν, καὶ φεύξετ' ἀπ' αὐτῶν.
Οὐκέτι γὰρ θάνατος τούτους, οὐ νὺξ ἀναπαύσει.
Πολλὰ δ' ἐρωτήσουσι μάτην Θεὸν ὑψιμέδοντα,
Καὶ τότ' ἀποστρέψει φανερῶς τὸ πρόσωπον ἀπ' αὐτῶν.
Ἑπτὰ γὰρ αἰώνων μετανοίας ἦματ' ἔδωκεν

Auch die, welche den Wittwen und Waisen von unrecht Erworbnem
Geben ein Theil, wie auch die, welche schmähn, wenn sie eigen Errungnes
Mittheilen; oder auch die, welche immer die Eltern im Alter
Liessen im Stich und Nichts vergalten, nicht Lohn der Erziehung
Reichten den Eltern dar; sondern die ungehorsam gewesen,
Und auch in heftiger Rede den Eltern Widerspruch thaten.
Auch die vertrautes Gut abgeleugnet, das sie empfangen.
Und die Dienerschaft auch, die gegen die Herrschaft gewesen.
Auch wiederum die, welche den Leib mit Unzucht befleckten,
Und die, welche den Gürtel der Jungfrauen schnöde gelöset,
Und sich heimlich vermischt; oder welche die Bürde im Leibe
Abgetrieben; auch die, welche ruchlos die Kinder aussetzten.
Giftmischer auch und Giftmischerinnen, auch sie wird zusammen
Mit allen Jenen der Zorn des himmlischen, ewigen Gottes
Führen zur Säule heran, wo rings herum in dem Kreise
Fliesset ein unauslöschlicher Strom von Feuer. Und jene
Alle werden die Engel des unsterblichen ewigen Gottes
Schrecklich mit brennenden Geisseln und mit feurigen Ketten,
Oben gefesselt vorher mit unzerbrechlichen Banden,
Züchtigen; und alsdann bei Mitternachtsdunkel sie stürzen
In die Gehenna hinab zu den Ungethümen der Hölle,
Zu den vielen und furchtbaren, wo unergründliche Nacht herrscht.
Aber wenn sie sodann viele Strafen verhängt über alle,
Welche von böser Gesinnung gewesen; alsdann wird sie nachher
Aus dem gewaltigen Strom ein feuriges Rad sie bedrängen
Rings wiederum, dieweil sie frevelnde Werke geübet.
Und sie werden dann weinen von Ferne untereinander
Ueber ihr schreckliches Loos, die Väter, unmündige Kinder,
Mütter und an der Brust noch säugende weinende Kinder.
Und ihres Weinens ist kein Ende, noch hört man die Stimme
Derer die Jammer erfüllt schwer klagen gegen einander;
Sondern fern in des weiten Tartarus nächtigem Dunkel
Werden sie schreien vor Qual und in den unheiligen Räumen
Büssen dreimal so viel als sie böse Werke geübet,
Brennend in vielem Feu'r. Und knirschen werden mit Zähnen
Alle, verzehrt von schrecklichem Durst und herber Gewaltthat;
Und werden preisen den Tod als ein Gut, doch flieht er vor ihnen:
Denn nicht mehr gibt Ruhe der Tod, noch erquicket die Nacht sie.
Viel aber werden umsonst sie zu Gott dem hochthronenden flehen,
Doch sein Antlitz wird er dann offen von ihnen abwenden:
Denn zur Busse hat er gegeben den irrenden Menschen

Ἀνδράσι πλαζομένοις διὰ χειρὸς Παρθένου ἁγνῆς.
Τοὺς δ' ἄλλους, ὁπόσοις τε δίκη καλά τ' ἔργα μεμήλει,
Ἥδὲ καὶ εὐσεβίη τε δικαιότατοί τε λογισμοὶ,
Ἄγγελοι αἰρόμενοι διὰ αἰθομένου ποταμοῖο
Εἰς φῶς ἄξουσί τε καὶ εἰς ζωὴν ἀμέριμνον,
Ἐνθα πέλει τρίβος ἀθάνατος μεγάλοιο Θεοῖο
Καὶ τρισσαὶ πηγαὶ, οἴνου, μέλιτός τε γάλακτος.
Γαῖα δ' ἴση πάντων, οὐ τείχεσιν, οὐ περιφραγμοῖς
Οὐδὲ μεριζομένη, καρποὺς τότε πλείονας οἴσει
Αὐτομάτη, κοινοί τε βίοι, καὶ πλοῦτος ἄμοιρος.
Οὐ γὰρ πτωχὸς ἐκεῖ, οὐ πλούσιος, οὐδὲ τύραννος,
Οὐ δοῦλος, οὔτ' αὖ μέγας, οὐ μικρός τις ἔτ' ἔσται,
Οὐ βασιλεῖς, οὐχ ἡγεμόνες· κοινῇ δ' ἅμα πάντες.
Κοὐκέτ' ἐρεῖ τις ὅλως· Νὺξ ἦλυθεν, οὐδὲ μὲν αὔριον,
Οὐκ ἐχθὲς γέγονεν, οὐκ ἤματα πολλὰ μεριμνᾶν,
Οὐκ ἔαρ, οὐχὶ θέρος, οὐ χειμὼν, οὐ μετόπωρον,
Οὐ γάμος, οὐ θάνατος, οὐ πράσεις, οὐδ' ἀγορασμοὶ,
Οὐ δύσις, ἀντολίη· ποιήσει γὰρ μακρὸν ἦμαρ.
Τοῖς καὶ ὁ παντοκράτωρ Θεὸς ἄφθιτος ἄλλο παρέξει
Εὐσεβέσιν, ὁπόταν Θεὸν ἄφθιτον αἰτήσωνται·
Ἐκ μαλεροῖο πυρὸς μακραιώνων τ' ἀπὸ βρυγμῶν
Ἀνθρώπους σῶσαι δώσει· καὶ τοῦτο ποιήσει.
Λεξάμενος γὰρ εὐσταθεῖς ἀπὸ φλογὸς ἀκαμάτοιο,
Ἄλλοσ' ἀποστήσας, πέμψει διὰ λαὸν ἑαυτοῦ
Εἰς ζωὴν ἑτέραν καὶ αἰώνιον ἀθανάτοισιν,
Ἡλυσίῳ πεδίῳ, ὅθι οἱ πέλε κύματα μακρὰ
Λίμνης ἀεννάου Ἀχερουσιάδος βαθυκόλπου.
Αἴ αἴ, ἐγὼ δειλὴ, τί γενήσομαι ἤματι τῷδε,
Ἀνθ' ὧν ἡ δύσφρων γε πονησαμένη περὶ πάντων
Ἤλιτον, οὔτε γάμων μεμελημένη, οὔτε λογισμοῦ·
Ἀλλὰ καὶ ἐν μελάθροισιν ἐμοῖς πολυπάμμονος ἀνδρὸς,
Λευομένους ἀπέκλεισα· τὰ δ' ἔκνομα πρόσθεν ἔρεξα
Εἰδυῖα. Σὺ δὲ, σῶτερ, ἐμῶν ἀπὸ μαστικτήρων
Ῥῦσαι δή με κυνῶπιν, ἀναιδέα πρήξασάν γε.
Ἧδε δ' ἐγὼ λίτομαί σε βαιὸν παῦσαί με ἀϋδῆς,
Ἅγιε μαννοδότα, βασιλεῦ μεγάλης βασιλείης.

Sieben Zeitalter, durch der hehren Jungfrau Vermittlung.
Aber die Anderen, welche des Rechts und löblicher Werke
Sich beflissen, der Frömmigkeit auch und rechtlichen Sinnes,
Werden von Engeln entrückt und durch die brennenden Fluthen
Zu dem Lichte geführt und in ein sorgloses Leben,
Wo der unsterbliche Weg des grossen Gottes sich hinzieht,
Und drei Quellen da sind von Wein, von Milch und von Honig.
Und die Erde wird gleich für Alle; nicht Mauern, noch Zäune
Scheiden sie mehr und Früchte trägt sie von selber in Fülle.
Auch ist das Leben gemeinsam und der Reichthum entbehrlich.
Denn keinen Armen gibt's dort, noch Reichen, noch einen Tyrannen.
Nicht werden Sklaven mehr sein; nicht gross noch klein ist mehr Einer.
Nicht gibt's Könige mehr, noch Herrn; sondern Alle sind Gleiche.
Nicht mehr spricht man alsdann: die Nacht ist da, oder der Morgen;
Nicht: es ist gestern geschehn; nicht giebt's viele Tage zur Sorge;
Nicht ist Lenz, noch Sommer mehr, nicht ist Winter, nicht Spätherbst;
Weder Hochzeit, noch Tod; nicht Kauf ist mehr, oder Verkaufen;
Auf- und Untergang nicht; einen langen Tag wird er machen.
Und der allherrschende ewige Gott wird auch etwas Andres
Noch jenen Frommen verleih'n, wenn sie fleh'n zum ewigen Gotte:
Aus dem brennenden Feu'r und aus lange währenden Qualen
Wird er die Menschen zu retten verleih'n. Dies wird er vollführen.
Denn er entrückt die Beruhigten aus unermüdlichem Feuer,
Pflanzt sie anders wohin, und schickt vermittelst der Seinen
Sie in ein anderes für Unsterbliche ewiges Leben,
In das elysische Land, wo weithin Wasser ihm fliessen
Des Acherusischen See's, des ew'gen, von grundloser Tiefe.
Ach! ich Arme, wie wird es mir jenes Tages ergehen!
Weil ich Unsinnige Alle in Sünden zu übertreffen
Suchte, und nicht der Ehe gedacht, noch verständigen Sinns war;
Sondern sogar in meinem Pallast, des begüterten Mannes,
Wies die Dürftigen ab, und vorher das Schlechte mit Wissen
Uebete aus. Aber du, o Erretter, von meinen Quälern
Rette mich, mich Unverschämte, die schamlose Dinge gethan hat.
Dich auch flehe ich an, lass ein wenig vom Sange mich ausruhn,
Heiliger Mannaspender und König des mächtigen Reiches.

ΤΩΝ ΣΙΒΥΛΛΙΑΚΩΝ

ΧΡΗΣΜΩΝ

ΛΟΓΟΣ ΤΡΙΤΟΣ.

Ὑψιβρεμέτα μάκαρ οὐράνι᾽ ὃς ἔχεις τὸ Χερουβὶμ,
Ἱδρυμένον, λίτομαί [σε], παναληθέα φημίξασαν
Παῦσον βαιόν με· κέκμηκα γὰρ ἔνδοθι ἦτορ.
Ἀλλὰ τί μου κραδίη πάλι πάλλεται, ἠδέ γε θυμὸς
Τυπτόμενος μάστιγι βιάζεται ἔνδοθεν αὐδὴν
Ἀγγέλλειν πᾶσιν; Αὐτὰρ πάλι πάντ᾽ ἀγορεύσω,
Ὅσσα Θεὸς κέλεταί μ᾽ ἀγορευέμεν ἀνθρώποισιν.
Ἄνθρωποι, θεόπλαστον ἔχοντες ἐν εἰκόνι μορφὴν,
Τίπτε μάτην πλάζεσθε, καὶ οὐκ εὐθεῖαν ἀταρπὸν
Βαίνετε, ἀθανάτου κτίστου μεμνημένοι αἰεί;
Εἷς Θεός ἐστι μόναρχος, ἀθέσφατος, αἰθέρι ναίων,
Αὐτοφυὴς, ἀόρατος, ὁρῶν μόνος αὐτὸς ἅπαντα.
Ὃν χείρ γ᾽ οὐκ ἐποίησε λιθοξόος, οὐδ᾽ ἀπὸ χρυσοῦ
Τέχνης ἀνθρώπου φαίνει τύπος, οὐδ᾽ ἐλέφαντος·
Ἀλλ᾽ αὐτὸς ἀνέδειξεν αἰώνιον αὐτὸς ἑαυτόν,
Ὄντα τε, καὶ πρὶν ἐόντα, ἀτὰρ πάλι καὶ μετέπειτα.
Τίς γὰρ θνητὸς ἐὼν κατιδεῖν δύναταί Θεὸν ὅσσοις;
Ἢ τίς χωρήσει κἂν τοὔνομα μοῦνον ἀκοῦσαι
Οὐρανίου μεγάλοιο Θεοῦ, κόσμον κρατέοντος;
Ὃς λόγῳ ἔκτισε πάντα, καὶ οὐρανὸν, ἠδὲ θάλασσαν,
Ἠέλιόν τ᾽ ἀκάμαντα, σελήνην τε πλήθουσαν,
Ἄστρα τε λαμπετόωντα, κραταιὰν μητέρα Τηθὺν,
Πηγὰς καὶ ποταμοὺς, πῦρ ἄφθιτον, ἤματα, νύκτας.
Αὐτὸς δὴ Θεός ἐσθ᾽ ὁ πλάσας τετραγράμματον Ἀδὰμ,
Τὸν πρῶτον πλασθέντα, καὶ οὔνομα πληρώσαντα
Ἀντολίην τε δύσιν τε μεσημβρίαν τε καὶ ἄρκτον.

SIBYLLINISCHE WEISSAGUNGEN.

DRITTES BUCH.

Himmlischer, Donnrer der Höh, Glückseliger, der du auf Cherub
Thronest, dich flehe ich an, ein wenig lasse mich ruhen,
Mich, die nur Wahres gesagt; denn ermüdet bin ich im Herzen.
Aber was zittert mir wieder das Herz, was drängt das Gemüth mich,
Treffend mit Geiselhieb, von innen heraus zu verkünden
Allen einen Gesang? Wiederum will ich Alles aussagen,
Was Gott immer befiehlt, dass ich es den Menschen verkünde.
Menschen, die ihr Gottähnlich geschaffne Gestaltung besitzet,
Was irrt ihr so vergeblich umher und geht nicht auf ebnem
Pfade voran und gedenket nicht stets des unsterblichen Schöpfers?
Ein allein herrschender Gott ist, unnennbar, den Himmel bewohnend,
Selbstgezeuget, unsichtbar, allein nur Alles erblickend,
Welchen die Hand mit dem Meissel nicht schuf, der nicht als Gebilde
Menschlicher Kunst aus Elfenbein, oder aus Golde bestehet:
Sondern er selbst hat als Ewigen sich von selber bewiesen,
Als den der ist, und der früher war, und wieder nachher ist.
Denn welch sterblicher Mensch könnte Gott mit Augen erblicken?
Oder wer fassete ihn, um nur zu hören den Namen
Gottes, des himmlischen, grossen, welcher das Weltall beherrschet,
Welcher Alles erschuf durch's Wort, das Meer und den Himmel,
Und die rastlose Sonne, des Mondes wachsende Scheibe,
Und der Sterne Glanz. und Tethys die mächtige Mutter,
Quellen und Flüsse, unlöschliches Feu'r, die Tage und Nächte?
Er, Gott ist's, welcher schuf den vierbuchstabigen Adam,
Welcher gebildet zuerst ward und dess Name erfüllet
Sonnenaufgang, den Untergang auch, und Mittag und Norden.

Αὐτὸς ὃς ἐστήριξε τύπον μορφὴν μερόπων τε,
Καὶ ἤρας ποίησε καὶ ἕρπετὰ καὶ πετεινά.
Οὐ σέβετ', οὐδὲ φοβεῖσθε Θεὸν, ματαίως δὲ πλανᾶσθε
Προσκυνέοντες ὄφεις τε, καὶ αἰλούροισι θύοντες,
Εἰδώλοις τ' ἄλλοις, λιθίνοις θ' ἱδρύμασι φωτῶν,
Καὶ ναοῖς ἀθέοισι καθεζόμενοι πρὸ θυράων,
Τηρεῖτε τὸν ἐόντα Θεὸν, ὃς πάντα φυλάσσει,
Τερπόμενοι κακότητι λίθων, κρίσιν ἐκλαθέοντες
Ἀθανάτου σωτῆρος, ὃς οὐρανὸν ἔκτισε καὶ γῆν.
[Αἳ] γένος αἱμοχαρὲς, δόλιον, κακὸν, ἀσεβέων τε,
Ψευδῶν ἢ διγλώσσων καὶ κακοηθῶν ἀνθρώπων,
Λεκτροκλόπων, εἰδωλολατρῶν, δόλια φρονεόντων,
Οἷς κακὸν ἐν στέρνοισιν ἔνι μεμανημένος οἶστρος,
Αὐτοῖς ἁρπάζοντες, ἀναιδέα θυμὸν ἔχοντες.
Οὐδεὶς [γὰρ] πλουτῶν καὶ ἔχων ἄλλῳ μεταδώσει,
Ἀλλ' ἔσεται κακίη δεινὴ πάντεσσι βροτοῖσι,
Πίστιν δ' οὐ σχήσουσιν ὅλως, χῆραί τε γυναῖκες
Στέρξουσι κρυφίως ἄλλους πολλαὶ διὰ κέρδος,
Οὐ σπάρτην κατέχουσαι βίου ἀνδρῶν γε λαχοῦσαι.
Αὐτὰρ ἐπεὶ Ῥώμη καὶ Αἰγύπτου βασιλεύσει,
Εἰς ἓν ἰθύνουσα, τότε δὴ βασιλεία μεγίστη
Ἀθανάτου βασιλῆος ἐπ' ἀνθρώποισι φανεῖται.
Ἥξει δ' ἁγνὸς ἄναξ, πάσης γῆς σκῆπτρα κρατήσων
Εἰς αἰῶνας πάντας, ἐπειγομένοιο χρόνοιο.
Καὶ τότε Λατίνων ἀπαραίτητος χόλος ἀνδρῶν,
Τρεῖς Ῥώμην οἰκτρῇ μοίρῃ καταδηλήσονται.
Πάντες δ' ἄνθρωποι μελάθροις ἰδίοισιν ὀλοῦνται,
Ὁππόταν οὐρανόθεν πύρινος ῥεύσῃ καταράκτης.
Οἵ μοι, δειλαίη, πότ' ἐλεύσεται ἦμαρ ἐκεῖνο,
Καὶ κρίσις ἀθανάτοιο Θεοῦ μεγάλου βασιλῆος;
Ἄρτι δέ τοι κτίζεσθε, πόλεις, κοσμεῖσθέ τε πᾶσαι
Ναοῖς καὶ σταδίοις, ἀγοραῖς, χρυσοῖς ξοάνοις τε,
Ἀργυρέοις, λιθίνοις τε, ἵν' ἔλθητ' εἰς πικρὸν ἦμαρ.
Ἥξει γὰρ ὁπόταν Θείου διαβήσεται ὁδμὴ
Πᾶσιν ἐν ἀνθρώποισιν. Ἀτὰρ τὰ ἕκαστ' ἀγορεύσω,
Ὅσσαις ἐν πόλεσιν μέροπες κακότητα φέρουσιν.

. . . . . .

Ἐκ [δὲ] Σεβαστηνῶν ἥξει Βελίαρ μετόπισθεν,
Καὶ στήσει ὀρέων ὕψος, στήσει δὲ θάλασσαν,
Ἥλιον πυρόεντα μέγαν, λαμπράν τε σελήνην,
Καὶ νέκυας στήσει, καὶ σήματα πολλὰ ποιήσει

Er ist's, welcher das Bild und die Form der Menschen gemacht hat;
Der auch die Thiere erschuf, was kriecht auch und was da flieget.
Nicht verehrt ihr und fürchtet nicht Gott und irret vergeblich,
Da ihr die Schlangen verehrt und Opfer bringet den Katzen,
Anderen Götzen auch und steinernen Menschengebilden,
Und vor die Thüren von Tempeln, wo Gott nicht wohnt, euch hinlagert.
Ihn den Gott, welcher ist, verehrt, der Alles bewahret,
Die ihr euch freut an schlechtem Gestein, des Gerichtes vergessend
Des unsterblichen Heilands, der Himmel und Erde geschaffen.
Weh, blutdürstig Geschlecht, verschmitztes und schlechtes, gottloser
Trügrischer und zweizüngiger Menschen, von böser Gesittung,
Ehbrecher ihr und Götzenverehrer, Arglistiges sinnend,
Welchen die böse und rasende Leidenschaft wohnt in dem Herzen,
Räuber untereinander und von unverschämter Gesinnung!
Denn kein reicher, begüterter Mann will dem Andern mittheilen;
Sondern schreckliche Bosheit wird allen Menschen inwohnen.
Keine Treue bewahren sie mehr. Viele Wittwen und Weiber
Werden um des Gewinns willen heimlich Andere lieben,
Und die Männer erlangt verachten die Sitte des Lebens.
Wenn aber Rom dereinst auch herrschet über Aegypten,
Und es zusammen regiert; dann wird das grösste der Reiche
Des unsterblichen Königs unter den Menschen erscheinen.
Und es kömmt ein heiliger Herr, der die Länder der Erde
Alle beherrscht, alle Zeiten hindurch, wie die Zeiten hinschwinden.
Und dann herrscht unerbittlicher Zorn lateinischer Männer:
Drei werden Rom alsdann mit schrecklichem Loose vernichten.
Und in den eigenen Häusern gehn alle Menschen zu Grunde,
Wenn vom Himmel dereinst ein feuriger Regen herabströmt.
Wehe mir Elenden, weh! jener Tag, wann wird er erscheinen,
Und des unsterblichen Gottes Gericht, des mächtigen Königs?
Nun aber werdet gebaut ihr Städte, mit Tempeln geschmücket
Alle, mit Stadien auch, mit Märkten und Götzen von Golde,
Und von Silber und Stein, dass zum bitteren Tag' ihr gelanget.
Denn er wird kommen dereinst, wann des Schwefels Dampf sich verbreitet
Ueber die Menschen zumal; doch das will ich Einzeln verkünden,
Wo ein herbes Geschick in den Städten die Menschen erdulden.

. . . . . .

Aber daher von Sebaste dereinst wird Beliar kommen,
Und er stellet die Höhe der Berge, macht stehen die Meerfluth,
Auch den glänzenden Mond und die grosse feurige Sonne;
Weckt die Gestorbenen auf und wird viele Zeichen verrichten

Ἀνθρώποις· ἀλλ᾽ οὐχὶ τελεσφόρα ἔσσετ᾽ ἐν αὐτῷ,
Ἀλλὰ πλάνα, καὶ δὴ μέροπας πολλούς [τε] πλανήσει,
Πιστούς τ᾽ ἐκλεκτούς θ᾽ Ἑβραίους, ἀνόμους τε καὶ ἄλλους
Ἀνέρας, οἵτινες οὔπω Θεοῦ λόγον εἰσήκουσαν.
Ἀλλ᾽ ὁπόταν μεγάλοιο Θεοῦ πελάσωσιν ἀπειλαὶ,
Καὶ δύναμις φλογέουσα δι᾽ οἴδματος εἰς γαῖαν ἥξει,
Καὶ Βελίαρ φλέξει καὶ ὑπερφιάλους ἀνθρώπους
Πάντας, ὅσοι τούτῳ πίστιν ἐνεποιήσαντο.
Καὶ τότε δὴ κόσμος ὑπὸ [ταῖς] παλάμῃσι γυναικὸς
Ἔσσεται ἀρχόμενος καὶ πειθόμενος περὶ παντός.
Ἦν δ᾽ ὁπόταν κόσμου παντὸς χήρη βασιλεύσῃ,
Καὶ ῥίψῃ χρυσόν τε καὶ ἄργυρον εἰς ἅλα δῖαν,
Καὶ χαλκόν τε σίδηρον ἐφημερίων ἀνθρώπων
Εἰς πόντον ῥίψῃ, τότε δὴ στοιχεῖα πρόπαντα
Χηρεύσει κόσμου, ὁπόταν Θεὸς αἰθέρι ναίων
Οὐρανὸν εἱλίσσῃ, καθάπερ βιβλίον εἱλεῖται·
Καὶ πέσεται πολύμορφος ὅλος πόλος ἐν χθονὶ δίᾳ
Καὶ πελάγει· ῥεύσει δὲ πυρὸς μαλεροῦ καταράκτης
Ἀκάματος, φλέξει δὲ γαῖαν, φλέξει δὲ θάλασσαν,
Καὶ πόλον οὐράνιον, καὶ ἤματα, καὶ κτίσιν αὐτὴν
Εἰς ἓν χωνεύσει καὶ εἰς καθαρὸν διαλέξει.
Κοὐκέτι φωστήρων σφαιρώματα καγχαλόωντα,
Οὐ νὺξ, οὐκ ἠὼς, οὐκ ἤματα πολλὰ μερίμνης,
Οὐκ ἔαρ, οὐχὶ θέρος, οὐ χειμὼν, οὐ μετόπωρον.
Καὶ τότε δὴ μεγάλοιο Θεοῦ κρίσις εἰς μέσον ἥξει
Αἰῶνος μεγάλοιο, ὅταν τάδε πάντα γένηται.

* * *

Ὦ [ὦ] δὴ πλωτῶν ὑδάτων, καὶ χέρσου ἁπάσης,
Ἠελίου ἀνιόντος, ὅπου δὴ καὶ πάλι δύνει.
Πάνθ᾽ ὑπακούσονται κόσμον πάλιν εἰσανιόντι,
Τοὔνεκ᾽ ἄρ᾽ αὐτὸς πρῶτος ἐπέγνωκε κράτος αὐτοῦ.

* * *

Ἀλλ᾽ ὁπόταν μεγάλοιο Θεοῦ τελέωνται ἀπειλαὶ,
Ἃς ποτ᾽ ἐπηπείλησε βροτοῖς, οἳ πύργον ἔτευξαν
Χώρῃ ἐν Ἀσσυρίῃ. Ὁμόφωνοι δ᾽ ἦσαν ἅπαντες,
Καὶ βούλοντ᾽ ἀναβῆναι εἰς οὐρανὸν ἀστερόεντα·
Αὐτίκα δ᾽ ἀθάνατος μεγάλην ἐπέθηκεν ἀνάγκην
Πνεύμασιν· αὐτὰρ ἔπειτ᾽ ἄνεμοι μέγαν ὕψοθι πύργον
Ῥίψαν, καὶ θνητοῖσιν ἐπ᾽ ἀλλήλοις ἔριν ὦρσαν·
Τοὔνεκά τοι Βαβυλῶνα βροτοὶ πόλει οὔνομ᾽ ἔθεντο.
Αὐτὰρ ἐπεὶ πύργος τ᾽ ἔπεσε, γλῶσσαί τ᾽ ἀνθρώπων

Unter den Menschen. Jedoch in ihm ist keine Vollendung,
Sondern Gaukel-Trug, und viele Menschen verführt er,
Treue erwählte Hebräer und auch noch andere Männer
Ohne Gesetz, und welche noch nicht das Wort Gottes vernahmen.
Wenn aber dann die Drohungen nah'n des mächtigen Gottes
Und die feurige Kraft auf die Erde in Fluthen herabkömmt:
Dann verbrennt er den Beliar und auch sämmtliche Menschen,
Die übermüthigen Sinns auf ihn ihr Vertrauen gesetzet.
Und alsdann wird die Welt sich unter der Hand eines Weibes
Finden, beherrscht von ihm und ihm in Allem gehorchend.
Wenn dann hierauf eine Wittwe beherrscht die sämmtliche Erde,
Und in die mächtige Fluth sie das Gold und Silber geworfen,
Auch das Eisen und Erz kurzlebiger Menschen versenket
In die Meerfluth hinab: dann werden der Welt Elemente
Alle verödet mit sein, wann Gott, der den Aether bewohnet,
Rollt den Himmel zusammen, rollt wie ein Buch ihn zusammen.
Und auf die göttliche Erde wird ganz der vielförmige Himmel
Stürzen, und auf das Meer; und strömen des schrecklichen Feuers
Unermüdlicher Guss, der verbrennt die Erde, die Meere,
Und die Achse des Himmels, die Tage, und selber die Schöpfung
Schmilzt er zusammen in Eins und wird zur Reinheit sie läutern.
Und nicht werden mehr sein die glänzenden leuchtenden Kugeln;
Nicht mehr Nacht, noch früh, noch viele Tage voll Sorgen;
Weder Frühling noch Sommer, noch Winter, oder ein Spätherbst.
Dann wird auch das Gericht des grossen Gottes erscheinen
Für die lang dauernde Zeit der Welt, wann dies Alles sich zuträgt.

* * *

Oh der schiffbaren Fluthen und auch des sämmtlichen Festlands,
Wo sich die Sonne erhebt und wo sie wieder hinabsinkt.
Alles gehorcht ihm wann in die Welt er wieder hineinkommt;
Weil er selber zuerst seine eigene Stärke erkannt hat.

* * *

Aber wenn dann des grossen Gottes Drohen erfüllt wird,
Welches er einst den Menschen gedroht, jenen die in dem Lande
Assur erbaut einen Thurm. Gleich waren sie Alle an Sprache,
Und zum Himmel hinan, dem gestirnten, wollten sie steigen:
Aber da legte alsbald den Winden gewaltigen Zwang auf
Der Unsterbliche. Drauf gleich stürzten die Winde von oben
Den gar gewaltigen Thurm, und die Menschen geriethen in Hader
Untereinander. Die Stadt ward Babylon darum geheissen.
Aber als nun gefallen der Thurm und die Sprache der Menschen

Παντοδαπαῖς φωναῖσι διέστρεφον, αὐτὰρ ἅπασα
Γαῖα βροτῶν πληροῦτο, μεριζομένων βασιλήων.
Καὶ τότε δὴ δεκάτη γενεὴ μερόπων ἀνθρώπων,
Ἐξ οὗπερ κατακλυσμὸς ἐπὶ προτέρους γένετ' ἄνδρας.
Καὶ βασίλευσε Κρόνος, καὶ Τιτὰν, Ἰαπετός τε,
Γαίης τέκνα φέριστα καὶ Οὐρανοῦ ἐξεκάλεσσαν
Ἄνθρωποι, γαίης τε καὶ οὐρανοῦ οὔνομα θέντες,
Οὕνεκα οἱ προφέριστοι ἔσαν μερόπων ἀνθρώπων.
Τρισσαὶ δὴ μερίδες γαίης κατὰ κλῆρον ἑκάστου,
Καὶ βασίλευσεν ἕκαστος ἔχων μέρος, οὐδ' ἐμάχοντο·
Ὅρκοι γάρ τ' ἐγένοντο πατρὸς, μερίδες τε δίκαιαι.
Τηνίκα δὴ πατρὸς τέλεος χρόνος ἵκετο γήρως,
Καί ῥ' ἔθανεν· καὶ παῖδες, ὑπερβασίην ὅρκοισι
Δεινὴν ποιήσαντες, ἐπ' ἀλλήλους ἔριν ὦρσαν,
Ὅς πάντεσσι βροτοῖσιν, ἔχων βασιληΐδα τιμὴν,
Ἄρξει· καὶ μαχέσαντο Κρόνος Τιτάν τε πρὸς αὐτούς.
Τοὺς δὲ Ῥέη, καὶ Γαῖα, φιλοστέφανός τ' Ἀφροδίτη,
Δημήτηρ τε, καὶ Ἑστίη, εὐπλόκαμός τε Διώνη,
Ἤγαγον ἐς φιλίην, συναγείρασαι βασιλῆας
Πάντας, ἀδελφειούς τε, συναίμους τ', ἠὲ καὶ ἄλλους
Ἀνθρώπους, οἵ τ' ἦσαν ἀφ' αἵματος ἠδὲ τοκήων·
Καί ῥ' ἔκριναν βασιλῆα Κρόνον πάντων βασιλεύειν,
Οὕνεκά τοι πρέσβιστός τ' ἦν γε καὶ εἶδος ἄριστος.
Ὅρκους δ' αὖτε Κρόνῳ μεγάλους Τιτὰν ἐπέθηκε,
Μὴ θρέψ' ἄρσενα καὶ παίδων γένος, ὡς βασιλεύσῃ
Αὐτὸς, ὅταν γῆράς τε Κρόνῳ καὶ μοῖρα πέληται.
Ὁππότε κεν δὲ Ῥέη τίκτεν, παρὰ τήνδ' ἐκάθηντο
Τιτῆνες, καὶ τέκνα διέσπων ἄῤῥενα πάντα,
Θήλεα δὲ ζῶντ' εἴων οἱ παρὰ μητρὶ τρέφεσθαι.
Ἀλλ' ὅτε τῇ τριτάτῃ γενεῇ τέκε πότνια Ῥείη,
Τίχθ' Ἥρην πρώτην· καὶ ἐπεὶ ἴδον ὀφθαλμοῖσι
Θῆλυ γένος, ᾧχοντο πρὸς αὐτοὺς ἄγριοι ἄνδρες
Τιτῆνες. Καὶ ἔπειτα Ῥέη τέκεν ἄρσενα παῖδα,
Τὸν ταχέως διέπεμψε, λαθρηϊδίῃ δὲ τρέφεσθαι,
Ἐς Φρυγίην, τρεῖς ἄνδρας ἐνόρκους Κρῆτας ἑλοῦσα·
Τοὔνεκά οἱ Δί' ἐπωνομάσανθ', ὅτι οἱ διεπέμφθη.
Ὡς δ' αὕτως διέπεμψε Ποσειδάωνα λαθραίως.
Τὸ τρίτον αὖ Πλούτωνα Ῥέη τέκε δῖα γυναικῶν,
Δωδώνην παριοῦσα, ὅθεν ῥέεν ὑγρὰ κέλευθα
Εὐρώτου ποταμοῖο, καὶ εἰς ἅλα μοίρατο ὕδωρ
Ἄμμιγα Πηνειῷ, καί μιν στύγιον καλέουσιν.

In viel Sprachen verwirrt war: da nun füllten die Länder
Alle mit Sterblichen sich, und die Reiche wurden getheilet.
Damals entstand das zehnte Geschlecht der sterblichen Menschen,
Seit die Sündfluth war auf die ersten Menschen gekommen.
Und es herrschte Saturn nnd Titan und Japetus.
Diese wurden der Erd' und des Himmels trefflichste Kinder
Von den Menschen genannt, nach Erde und Himmel den Namen
Nennend, weil sie die besten der irdischen Menschen gewesen.
Dreifach ward die Erde getheilt nach dem Loose für Jeden,
Und ein Jeder war Herr seines Theils, es erhob sich kein Hader;
Denn es bestand vom Vater ein Schwur, und die Theilung war richtig.
Doch als die endliche Zeit des greisen Vaters herankam,
Und er nun starb, da wurde schmachvoll der Eidschwur gebrochen;
Und die Kinder geriethen in Streit, eines gegen das andre,
Wer über sämmtliche Menschen der Herr, wer die Würde des Königs
Sollte besitzen, und Kampf entstand zwischen Kronos und Titan.
Aber es brachten sie Rhea und Gaia, die Freundinn der Kränze
Aphrodite und Demeter, Vesta und die Dione,
Die schöngelockte, zur Freundschaft, wieder versammelnd die Herrscher
Alle zumal, die Geschwister, Verwandten des Bluts; und die andern
Menschen auch, die von hohem Geblüt und vornehmer Eltern.
Und sie erwählten als König Saturn, über Alle zu herrschen;
Weil er der älteste war und auch an Gestalt ausgezeichnet.
Schwere Eide sodann Titan dem Kronos auflegte,
Nicht zu erzieh'n einen Mann und männlich Geschlecht, damit er selbst
Herrsche, wenn einst das Schicksal und Alter Saturnus befiele.
Wenn dann die Rhea gebar, so sassen bei ihr die Titanen,
Und jedes männliche Kind ward sofort von ihnen zerrissen;
Aber das weibliche liess man lebend der Mutter zum Aufzieh'n.
Als nun den dritten Sprössling gebar die erhabene Rhea,
Da kam Hera zuerst; und als sie mit Augen gesehen
Weiblich Geschlecht, da kehreten heim die wilden Titanen.
Und ein männliches Kind ward darauf von Rhea geboren:
Dieses entsandte sie schnell, um heimlich es zu ernähren,
In der Phrygier Land, drei vereidete Kreter gewinnend.
Drum ward Dis er genannt, weil er ihnen ward übersendet.
Ebenso sandte sie auch heimlich hinweg den Poseidon.
Rhea das herrliche Weib gebar dann als dritten den Pluton,
Als sie ging an Dodona vorbei, wo des Flusses Eurotas
Nasse Pfade hinzieh'n und in's Meer das getheilete Wasser
Fliesst mit dem Peneus gemischt, und den man den Stygischen Fluss nennt.

Ἡνίκα δ᾽ ἤκουσαν Τιτᾶνες παῖδας ἐόντας
Λάθριον, οὓς ἔσπειρε Κρόνος τε Ῥέη τε σύνευνος,
Ἐξήκοντα δέ τοι παῖδας συναγείρατο Τιτὰν,
Καί ῥ᾽ εἶχ᾽ ἐν δεσμοῖσι Κρόνον τε Ῥέην τε σύνευνον,
Κρύψεν δ᾽ ἐν γαίῃ, καὶ ἐν ζωσμοῖς ἐφύλασσε.
Καὶ τότε δή μιν ἄκουσαν υἱοὶ κρατεροῖο Κρόνοιο,
Καὶ οἱ ἐπήγειραν πόλεμον μέγαν ἠδὲ κυδοιμόν.
Αὕτη δ᾽ ἔστ᾽ ἀρχὴ πολέμου πάντεσσι βροτοῖσι·
Πρώτη γάρ τε βροτοῖς αὕτη πολέμοιο καταρχή.
Καὶ τότε Τιτάνεσσι Θεὸς κακὸν ἐγγυάλιξε,
Καὶ πᾶσαι γενεαὶ Τιτάνων ἠδὲ Κρόνοιο
Κάτθανον. Αὐτὰρ ἔπειτα, χρόνου περιτελλομένοιο,
Αἰγύπτου βασίλειον ἐγείρατο· εἶτα τὸ Περσῶν,
Μήδων, Αἰθιόπων τε, καὶ Ἀσσυρίης Βαβυλῶνος,
Εἶτα Μακεδονίων, πάλιν Αἰγύπτου, τότε Ῥώμης.
Καὶ τότε μοι μεγάλοιο Θεοῦ φάτις ἐν στήθεσσιν
Ἵππατο, καί μ᾽ ἐκέλευσε προφητεῦσαι κατὰ πᾶσαν
Γαῖαν, καὶ βασιλεῦσι τά τ᾽ ἐσσόμεν᾽ ἐν φρεσὶ θεῖναι.
Καί μοι τοῦτο Θεὸς πρῶτον μόνος ἐγγυάλιξεν,
Ὅσσαι ἀνθρώπων βασιληΐδες ἠγερέθονται.
Οἶκος μὲν γὰρ πρώτιστος Σολομώνιος ἄρξει
Φοινίκης τ᾽ Ἀσίης ἐπιβήτορας, ἠδὲ καὶ ἄλλων
Νήσων, Παμφύλων τε γένος, Περσῶν τε, Φρυγῶν τε,
Καρῶν, καὶ Μυσῶν, Λυδῶν τε γένος πολυχρύσων.
Αὐτὰρ ἔπειθ᾽ Ἕλληνες ὑπερφίαλοι καὶ ἄναγνοι,
Ἄλλο Μακεδονίης ἔθνος μέγα ποικίλον ἄρξει,
Οἳ φοβερὸν πολέμοιο νέφος ἥξουσι βροτοῖσιν.
Ἀλλά μιν οὐράνιος Θεὸς ἐκ βυθοῦ ἐξαλαπάξει.
Αὐτὰρ ἔπειτ᾽ ἄλλης βασιληΐδος ἔσσεται ἀρχὴ,
Λευκὴ καὶ πολύκρανος, ἀφ᾽ ἑσπερίου τε θαλάσσης,
Ἣ πολλῆς γαίης ἄρξει, πολλοὺς δὲ σαλεύσει,
Καὶ πᾶσι βασιλεῦσι φόβον μετόπισθε ποιήσει,
Πολλὸν δ᾽ αὖ χρυσόν τε καὶ ἄργυρον ἐξαλαπάξει
Ἐκ πόλεων πολλῶν· πάλι δ᾽ ἔσσεται ἐν χθονὶ δίᾳ
Χρυσίον, αὐτὰρ ἔπειτα καὶ ἄργυρος, ἠδέ τε κόσμος.
Καὶ θλίψουσι βροτούς· μετὰ δ᾽ ἔσσεται ἀνδράσι κείνοις
Πτώμαθ᾽, ὅταν ἄρξωνθ᾽ ὑπερηφανίης ἀδίκοιο.
Αὐτίκα δ᾽ ἐν τούτοις ἀσεβείας ἔσσετ᾽ ἀνάγκη,
Ἄρσην δ᾽ ἄρσενι πλησιάσει, στήσουσί τε παῖδας
Αἰσχροῖς ἐν τεγέεσσι, καὶ ἔσσεται ἤμασι κείνοις
Θλῖψις ἐν ἀνθρώποις μεγάλη, καὶ πάντα ταράξει,

Aber als nun die Titanen gehört, dass Knaben da wären
Heimlich, gezeugt von Saturn mit Rhea seiner Gemahlinn:
Da versammelte Titan sechszig Söhne auf Einmal,
Und hielt fest den Saturn und Rhea die Gattinn in Banden,
Barg in die Erde sie und hielt sie in Fesseln verwahret.
Als aber dann die Söhne des starken Saturn dies vernommen,
Da nun fingen sie an einen Krieg und gewaltigen Schlachtlärm.
Das ist des Kriegs Anfang bei allen den sterblichen Menschen;
Denn für die Sterblichen war's der erste Ursprung des Krieges.
Da nun suchte darauf Gott heim die Titanen mit Unglück,
Und der Titanen Geschlechter zumal und die des Saturnus
Starben. Aber nachher, als um sich wandten die Zeiten,
Ward Aegyptiens Reich errichtet und drauf das der Perser,
Meder und Aethioper und das des Assyrischen Babels.
Dann Macedoniens Reich, der Aegypter wieder und Römer.
Und da flog mir in's Herz vom grossen Gott ein Orakel,
Und auf der sämmtlichen Erde befahl er mir es zu verkünden,
Und zu legen in's Herz den Herrschern die Dinge der Zukunft.
Dieses ward mir zuerst von Gott dem Einen behändigt,
Wie viel Königreiche der Menschen würden entstehen.
Denn vor Allen zuerst wird das Haus des Salomo herrschen
Ueber Phöniziens Reiter und Asiens, und andere Inseln;
Ueber Pamphyliens Geschlecht und die Perser und über die Phryger;
Ueber die Karier auch und die Mysier und goldreichen Lyder.
Aber es werden darauf übermüth'ge, unreine Hellenen
Herrschen, ein anderes Volk Macedoniens, das gross und vermischt ist.
Sie, eine schreckliche Wolke des Kriegs, überfallen die Menschen.
Aber der himmlische Gott wird sie vertilgen von Grund aus.
Aber darauf wird eines anderen Reiches Beginn sein:
Weiss und vielhäuptig ist's und stammt vom hesperischen Meere;
Und viele Länder beherrscht's und viele wird es erschüttern;
Und den Königen all wird's später Schrecken einjagen.
Auch das Gold und Silber wird es erbeuten in Menge
Aus viel Städten; doch wird wiederum auf der göttlichen Erde
Gold später sein, auch Silber nachher, und auch vieles Schmuckwerk.
Und sie werden bedrückt die Menschen; doch wird jenen Männern
Unglück begegnen hernach, wann sie unrechten Hochmuth beginnen.
Und unter ihnen alsbald wird sein der Schlechtigkeit Andrang:
Männer werden sich nahn den Männern, in schändlichen Häusern
Stellt man Knaben sich ein, und gross wird in jenen Tagen
Unter den Menschen die Drangsal sein, und Alles verwirret,

Πάντα δὲ συγκόψει, καὶ πάντα κακῶν ἀναπλήσει,
Αἰσχροβίῳ φιλοχρημοσύνῃ, κακοκερδεῖ πλούτῳ,
Ἐν πολλαῖς χώρῃσι, Μακεδονίῃ δὲ μάλιστα.
Μῖσος δ' ἐξεγερεῖ, καὶ πᾶς δόλος ἔσσεται αὐτοῖς,
Ἄχρι πρὸς ἑβδομάτην βασιληΐδα, ἧς βασιλεύσει
Αἰγύπτου βασιλεὺς, ὃς ἀφ' Ἑλλήνων γένος ἔσται.
Καὶ τότ' ἔθνος μεγάλοιο Θεοῦ πάλιν καρτερὸν ἔσται,
Οἳ πάντεσσι βροτοῖσι βίου καθοδηγοὶ ἔσονται.
Ἀλλὰ τί μοι καὶ τοῦτο Θεὸς νόῳ ἔνθετο λέξαι,
Τί πρῶτον, τί δ' ἔπειτα, τί δ' ὕστατιον κακὸν ἔσται
Πάντας ἐπ' ἀνθρώπους, τίς δ' ἀρχὴ τούτων ἔσται;
Πρῶτον Τιτάνεσσι Θεὸς κακὸν ἐγγυαλίξει.
Υἱοὶ γὰρ κρατεροῖο Κρόνου τίσουσι δίκας [γε],
Οὕνεκά τοι δῆσάν τε Κρόνον καὶ μητέρα κεδνήν.
Δεύτερον αὖθ' Ἕλλησι τυραννίδες, ἠδ' ἀγέρωχοι
Ἔσσονται βασιλῆες ὑπερφίαλοι καὶ ἄναγνοι,
Κλεψίγαμοι καὶ πάντα κακοί· καὶ οὐκέτι θνητοῖς
Ἄμπαυσις πολέμοιο. Φρύγες δ' ἔκπαγλοι ὀλοῦνται
Πάντες, καὶ Τροίῃ κακὸν ἔσσεται ἤματι κείνῳ.
Αὐτίκα καὶ Πέρσῃσι καὶ Ἀσσυρίοις κακὸν ἥξει,
Πάσῃ τ' Αἰγύπτῳ, Λιβύῃ, ἠδ' Αἰθιόπεσσι,
Καρσί τε, Παμφυλίοις τε, κακὸν μετακινηθῆναι,
Καὶ πάντεσσι βροτοῖσι. Τί δὴ καθ' ἓν ἐξαγορεύω;
Ἀλλ' ὁπόταν τὰ πρῶτα τέλος λάβῃ, αὐτίκα δ' ἔσται
Δεύτερ' ἐπ' ἀνθρώπους. Καί τοι πρώτιστα βοήσω.
Ἀνδράσιν εὐσεβέσιν ἥξει κακὸν, οἳ περὶ ναὸν
Οἰκοῦσιν μέγαν [εἰς] Σολομώνειον, οἵ τε δικαίων
Ἀνδρῶν ἔκγονοί εἰσιν. Ὅμως καὶ τῶνδε βοήσω
Φῦλον, καὶ γενεὴν πατέρων, καὶ δῆμον ἁπάντων,
Πάντα περιφραδέως, βροτὲ ποικιλόμητι δολόφρον.
Ἔστι πόλις [Ἀσίης] κατὰ χθονὸς εὐρυάγυια,
Ἐξ ἧς δὴ γένος ἐστὶ δικαιοτάτων ἀνθρώπων,
Οἷσιν ἀεὶ βουλή τ' ἀγαθὴ, καλά τ' ἔργα μέμηλεν.
Οὔτε γὰρ ἠελίου κύκλιον δρόμον, οὔτε σελήνης,
Οὔτε πελώρια ἔργα μεριμνῶσι κατὰ γαίης,
Οὔτε βάθος χαροποῖο θαλάσσης Ὠκεανοῖο,
Οὐ πταρμῶν σημεῖ' οἰωνοπόλων τε πετεινὰ,
Οὐ μάντεις, οὐ φαρμακοὺς, οὐ μὴν ἐπαοιδους,
Οὐ μύθων μωρῶν ἀπάτας ἐγγαστριμύθων,
Οὐδὲ τὰ Χαλδαίων τὰ προμάντια ἀστρολογοῦσιν,
Οὐδὲ μὲν ἀστρονομοῦσι· τὰ γὰρ πλάνα πάντα πέφυκεν,

Alles versinkt in Trümmer und voll ist Alles des Bösen,
Durch den schändlichen Geiz und den übelgewonnenen Reichthum
In viel Ländern; zumeist aber im Macedonischen Lande.
Und es regt sich der Hass, und man übet allerlei Arglist,
Bis zum siebenten Reich, über das ein Aegyptischer König
Führet die Herrschaft dereinst, der abstammt von den Hellenen.
Und des mächtigen Gottes Volk wird dann wieder stark sein,
Welches den Sterblichen Allen als Führer des Lebens wird dienen.
Aber warum hat auch dies in den Sinn mir die Gottheit geleget,
Auszusagen was erst, was darauf, was als letztes der Uebel
Kommen wird über die Menschen all und womit es beginnet?
Die Titanen wird Gott zuerst mit Unglück heimsuchen.
Denn die Söhne des starken Saturn werden Strafe erleiden,
Weil den Saturn sie gefesselt sammt ihrer achtbaren Mutter.
Dann wird Despotie die Hellenen heimsuchen; es kommen
Könige, stolz, übermüthigen Sinns und unreinen Herzens,
Ehebrecher und schlecht durchaus; und den Sterblichen wird nicht
Ruhe mehr sein vom Krieg; und alle die schrecklichen Phryger
Gehen zu Grund, und übel wird's Troja ergehn jenes Tages.
Unheil wird auch alsbald die Assyrer und Perser befallen;
Ganz Aegyptien auch, die Libyer und Aethioper;
Auch die Karier und die Pamphylier, es wandert das Unglück;
Und die Sterblichen alle. Doch was verkünd' ich ein Jedes?
Aber wenn dann das Erste zu Ende ist, dann wird das Zweite
Bald den Menschen auch nah'n. Doch erzählen will ich das Erste.
Ueber die frommen Männer wird Unglück kommen, die um den
Grossen Tempel Salomo's wohnen, die der gerechten
Männer Sprösslinge sind. Zugleich will ich laut auch verkünden
Dieser Abstammung, der Väter Geschlecht, und den Wohnsitz von Allen;
Alles verständig, o sterblicher Mensch, voll List und voll Trugsinn!
Eine breitstrassige Stadt gibts im Asiatischen Lande;
Aus ihr ist das Geschlecht der gerechtesten Menschen entsprossen,
Die stäts trefflichen Sinns und herrlicher Werke gedachten:
Denn um der Sonne kreisförmigen Lauf nicht, noch um des Mondes,
Noch um gewaltige Dinge sind sie auf Erden bekümmert;
Nicht um des Oceans Tiefe, um die des bläulichen Meeres;
Nicht um des Niessens Zeichen, um Vögel der Flugausdeuter;
Noch um Wahrsager, noch um Zauberer, oder Beschwörer;
Nicht um thörichter Fabeln Trug von Bauchweissagern.
Auch nicht sagen sie her aus den Sternen Chaldäische Deutung;
Auch betrachten sie nicht die Sterne, da All das nur Trug ist,

Ὅσσα κεν ἄφρονες ἄνδρες ἐρευνῶσι κατὰ ἦμαρ,
Ψυχὰς γυμνάζοντες ἐς οὐδὲν χρήσιμον ἔργον,
Καί ῥα πλάνην ἐδίδαξαν ἀεικελίους ἀνθρώπους·
Ἐξ ὧν δὴ κακὰ πολλὰ βροτοῖς πέλεται κατὰ γαῖαν,
Τοῦ πεπλανῆσθαι ὁδούς τ᾽ ἀγαθὰς καὶ ἔργα δίκαια.
Οἱ δὲ μεριμνῶσί τε δικαιοσύνην τ᾽ ἀρετήν τε·
Κοὐ φιλοχρημοσύνη τίς γ᾽, ἢ κακὰ μυρία τίκτει
Θνητοῖς ἀνθρώποις, πόλεμον καὶ λιμὸν ἄπειρον.
Τοῖσι δὲ μέτρα δίκαια πέλει κατ᾽ ἀγρούς τε πόλεις τε,
Οὐδὲ κατ᾽ ἀλλήλων νυκτοκλοπίας τελέουσιν,
Οὐδ᾽ ἀγέλας ἐλάουσι βοῶν, οἰῶν τε καὶ αἰγῶν,
Οὐδὲ ὅρους γαίης γείτων τοῦ γείτονος αἴρει,
Οὐδὲ πολύπλουτός τις ἀνὴρ τὸν ἐλάττονα λυπεῖ,
Οὐδέ γε χήρας θλίβει, μᾶλλον δ᾽ αὖτε βοηθεῖ,
Αἰεὶ ἐπαρκείων σίτῳ, οἴνῳ καὶ ἐλαίῳ·
Αἰεὶ δ᾽ ὄλβιος ἐν δήμῳ τοῖς μηδὲν ἔχουσιν,
Ἀλλὰ πενιχρομένοισι, θέρους ἀπὸ μοῖραν ἰάλλει·
Πληροῦντες μεγάλοιο Θεοῦ φάτιν, ἔννομον ὕμνον·
Πᾶσι γὰρ οὐράνιος κοινὴν ἐτελέσσατο γαῖαν.
Ἡνίκα δ᾽ Αἴγυπτον λείψει, καὶ τερπνὸν ὁδεύσει
Λαὸς ὁ δωδεκάφυλος ἐν ἡγεμόσι Θεοπέμπτοις,
Ἐν στύλῳ πυρόεντι τὸ νυκτερινὸν διοδεύων,
Κἐν στύλῳ νεφέλης πᾶν ἠὼς ἦμαρ ὁδεύσει,
Τούτῳ δ᾽ ἡγητῆρα καταστήσει μέγαν ἄνδρα
Μωσῆν, ὃν παρ᾽ Ἕλους βασίλισσ᾽ εὑροῦσ᾽ ἐκόμιζε,
Θρεψαμένη δ᾽ υἱὸν ἐκαλέσσατο. Ἡνίκα δ᾽ ἦλθε
Λαὸν ὅδ᾽ ἡγεμονῶν, ὃν ἀπ᾽ Αἰγύπτου Θεὸς ἦγεν,
Εἰς τὸ ὄρος Σινᾶ, καὶ τὸν νόμον οὐρανόθεν πρὸ
Λῶκε Θεὸς, γράψας πλαξὶ δυσὶ πάντα δίκαια,
Καὶ προσέταξε ποιεῖν, καὶ ἦν ἄρα τις παρακούσῃ,
Ἠὲ νόμῳ τίσειε δίκην, ἢ χερσὶ βροτείαις,
Ἠὲ, λαθὼν βροτοὺς, πάσῃ δίκῃ ἐξαπολεῖται.
Πᾶσι γὰρ οὐράνιος κοινὴν ἐτελέσσατο γαῖαν,
Καὶ πᾶσι καὶ ἄριστον ἐνὶ στήθεσσι νόημα.
Τοῖσι μόνοις καρπὸν τελέθει ζείδωρος ἄρουρα
Ἐξ ἑνὸς εἰς ἑκατὸν, τελέθοντό τε μέτρα Θεοῖο.
Ἀλλ᾽ ἄρα καὶ τούτοις κακὸν ἔσσεται, οὐδὲ φύγονται
Λοιμόν. Καὶ σὺ δὲ καταλιπὼν περικαλλέα σηκὸν
Φεύξῃ, ἐπεί σοι μοῖρα λιπεῖν πέδον ἁγνὸν ὑπάρχει.
Ἀχθήσῃ δὲ πρὸς Ἀσσυρίους, καὶ νήπια τέκνα
Ὄψει δουλεύοντα παρ᾽ ἀνδράσι δυσμενέεσσιν,

Was die Sterblichen stäts im Unverstand täglich erforschen,
Uebend an Dingen den Geist, die niemals Nutzen gewähren;
Nur den Irrthum gelehrt haben sie den harmlosen Menschen:
Und viel Uebel entsteht daraus den Menschen auf Erden,
Dass man von guten Wegen abirrt und von rechtlichen Dingen.
Die aber sind nur bedacht auf Gerechtigkeit und auf die Tugend.
Auch besitzen sie nicht Geldgier, die den sterblichen Menschen
Tausend Uebel gebiert, den Krieg und den schrecklichen Hunger.
Auch ein richtiges Maass haben sie in den Dörfern und Städten,
Auch vollführen sie nicht des Nachts Diebstahl an einander,
Treiben die Heerden nicht weg der Ochsen, Schafe und Ziegen.
Nicht nimmt der Nachbar hinweg die Grenzen vom Lande des Nachbars,
Und der reichere Mann bereitet dem ärmern nicht Kränkung,
Und betrübet die Wittwen nicht; vielmehr leistet er Hilfe,
Steuert der Noth mit Weizen stets, mit Wein und mit Oele,
Und ist ein glücklicher stets bei dem Volke für die, welche arm sind.
Ja den Armen gewährt er den Theil von der eigenen Erndte,
Gottes des grossen Befehl erfüllend, den Laut des Gesetzes:
Denn Allen gab der Himmlische ja die Erde gemeinsam.
Aber wenn es Aegypten verlässt und fröhlich einherzieht
Das zwölfstämmige Volk unter Gottgesendeten Führern;
Wenn es die Theile der Nacht unter feuriger Säule hinwandert,
Und in der Wolkensäule am Morgen hinzieht alle Tage:
Dann wird er einen grossen Mann ihm setzen zum Führer,
Moses, den bei dem Sumpf eine Königinn fand und hinwegnahm,
Ihn sich erzog und Sohn ihm nannte. Doch dieser als er dann
Führend das Volk, das Gott aus Aegypten hatte geleitet,
Zu dem Berge Sinai kam; da gab ihm vom Himmel
Gott das Gesetz und beschrieb zwei Tafeln mit allem was Recht war.
Und er gebot es zu halten, und wenn Einer wäre unfolgsam,
Sollte er büssen gesetzlich, oder durch menschliche Hände;
Oder entging es den Menschen, so sollt' jede Strafe ihn treffen.
Denn Allen gab der Himmlische ja die Erde gemeinsam,
Und in die Brust hat er Allen gelegt eine treffliche Denkart.
Diesen allein erzeugt an Frucht die ergiebige Erde
Hundertfältig von Eins; so sind die Maasse der Gottheit.
Aber auch diese wird Unglück treffen; dem Pesthauch entfliehen
Werden sie nicht. Auch du, verlassend den herrlichen Tempel,
Wirst entfliehen, bestimmt das heilige Land zu verlassen.
Und nach Assur wirst du geführt und unmündige Kinder
Wirst du erblicken im Dienst bei feindlich gesinneten Männern;

Ἦδ' ἀλόχους· καὶ πᾶς βίοτος καὶ πλοῦτος ὀλεῖται·
Πᾶσα δὲ γαῖα σέθεν πλήρης, καὶ πᾶσα θάλασσα·
Πᾶς δὲ προσοχθίζων ἔσται τοῖς σοῖς ἐθίμοισι·
Γαῖα δ' ἔρημος ἅπασα σέθεν, καὶ βωμὸς ἐρυμνὸς,
Καὶ ναὸς μεγάλοιο Θεοῦ, καὶ τείχεα μακρὰ,
Πάντα χαμαὶ πεσέονται, ὅτι φρεσὶν οὐκ ἐπέθηκας
Ἀθανάτοιο Θεοῦ ἁγνὸν νόμον, ἀλλὰ πλανηθεὶς
Εἰδώλοις ἐλάτρευσας ἀεικέσιν, οὐδ' ἐφοβήθης
Ἀθάνατον γενετῆρα θεῶν πάντων τ' ἀνθρώπων,
Οὐκ ἔθελες τιμᾶν, θνητῶν εἴδωλά δ' ἐτίμας.
Ἀνθ' ὧν ἑπτὰ χρόνων δεκάδας γῆ καρποδότειρα
Ἔσται ἔρημος ἅπασα σέθεν, καὶ θαύματα σηκοῦ.
Ἀλλὰ μένει σ' ἀγαθοῖο τέλος καὶ δόξα μεγίστη,
Ὡς σοι ἐπέκρανε Θεὸς ἄμβροτος. Ἀλλὰ σὺ μίμνε,
Πιστεύων μεγάλοιο Θεοῦ ἁγνοῖσι νόμοισιν,
Ὁππότε σεῖο καμὸν ὀρθὸν γόνυ πρὸς φάος ἄρῃ.
Καὶ τότε δὴ Θεὸς οὐρανόθεν πέμψει βασιλῆα,
Κρινεῖ δ' ἄνδρα ἕκαστον ἐν αἵματι καὶ πυρὸς αὐγῇ.
Ἔστι δέ τις φυλὴ βασιλήϊος, ἧς γένος ἔσται
Ἄπταιστον· καὶ τοῦτο χρόνοις περιτελλομένοισιν
Ἄρξει, καὶ καινὸν Θεοῦ σηκὸν ἄρξετ' ἐγείρειν.
Καὶ πάντες Περσῶν βασιλεῖς ἐπικουρήσουσι
Χρυσόν τε, χαλκόν τε, πολύκμητόν τε σίδηρον.
Αὐτὸς γὰρ δώσει Θεὸς ἔννυχον ἁγνὸν ὄνειρον.
Καὶ τότε δὴ ναὸς πάλιν ἔσσεται, ὡς πάρος ἦεν.

* * *

Ἡνίκα δή μου θυμὸς ἐπαύσατο ἔνθεον ὕμνον,
Καὶ λιτόμην γενετῆρα μέγαν παύσασθαι ἀνάγκης·
Καὶ πάλι μοι μεγάλοιο Θεοῦ φάτις ἐν στήθεσσιν
Ἵστατο, καί μ' ἐκέλευσε προφητεῦσαι κατὰ πᾶσαν
Γαῖαν, καὶ βασιλεῦσι τά τ' ἐσσόμενα φρεσὶ θεῖναι.
Καί μοι τοῦτο Θεὸς πρῶτον νόῳ ἔνθετο λέξαι,
Ὅσσα κε τῇ Βαβυλῶνι ἐμήσατο ἄλγεα λυγρὰ
Ἀθάνατός θ', ὅτι οἱ ναὸν Θεοῦ μέγαν ἐξαλάπαξεν.
Αἶ αἶ σοι, Βαβυλών, ἠδ' Ἀσσυρίων γένος ἀνδρῶν,
Πᾶσαν ἁμαρτωλῶν γαῖαν ῥοῖζός ποθ' ἵκνεῖται,
Καὶ πᾶσαν χώραν μερόπων ἀλαλαγμὸς ὀλέσσει,
Καὶ πληγὴ μεγάλοιο Θεοῦ, ἠγήτορος ὕμνων.
Ἀέριος γάρ σοι, Βαβυλών, ἥξει ποτ' ἄνωθεν,

Und die Gattinnen auch; alle Nahrung und Reichthum verschwindet.
Jegliches Land und jegliches Meer ist von dir erfüllet;
Aber ein Jeglicher ist unwillig ob deiner Gewöhnung.
Aber dein ganzes Land ist leer; der befestigte Hügel,
Und der Tempel des grossen Gottes, gedehnete Mauern,
Alles wird stürzen zur Erde; dieweil des unsterblichen Gottes
Heilige Satzung du nicht bedacht hast; sondern verführet
Den unansehnlichen Götzen gedient hast und nicht gefürchtet
Den unsterblichen Vater der Götter zumal und der Menschen,
Und ihn nicht ehren gewollt; aber Bilder von Sterblichen ehrtest.
Dafür wird die fruchtbare Erde siebenzig Zeiten
Gänzlich verödet dir sein, mit sammt den Wundern des Tempels.
Aber am Ende erwartet dich Gutes und sehr grosse Ehre,
Wie dir's erfüllt der unsterbliche Gott. Du aber verharre
Glaubenstreu dem heil'gen Gesetz des mächtigen Gottes;
Wenn das ermüdete Knie aufrecht er zum Lichte dir hebet.
Und vom Himmel herab wird Gott einen König dann senden,
Der wird jeglichen Mann im Blut und Feuerglanz richten.
Aber es ist ein Königs-Stamm, und dessen Geschlecht wird
Nimmermehr wanken, und in den rings umlaufenden Zeiten
Wird es herrschen und neu Gottes Tempel zu bauen beginnen.
Und die Könige all der Perser werden herzu dann
Tragen Gold und Erz und wohlgeschmiedetes Eisen.
Denn Gott wird in der Nacht selbst heil'ge Gesichte verleihen.
Und es wird dann wiederum der Tempel sein wie er vorher war.

* * *

Als aber nun mein Geist abliess vom göttlichen Sange,
Und ich den grossen Erzeuger anflehte, vom Zwang mich zu lösen:
Da erhob wiederum die Rede des mächtigen Gottes
Sich mir im Herzen und trug mir auf gegen jegliche Erde
Zu prophezein, und an's Herz zu legen den Herrschern die Zukunft.
Dieses hat Gott mir zuerst in den Sinn zu sagen gegeben,
Wie viel bitteres Leid Babylonien ward zugemessen
Vom Unsterblichen, weil es den grossen Tempel verwüstet.
Weh dir Babylon, weh, und du Stamm assyrischer Männer,
Ueber das ganze Gebiet der Sünder kömmt ein Geschwirr einst,
Und das sämmtliche Land der Menschen vernichtet der Kriegslärm,
Und der Schlag des grossen Gottes, des Helden der Hymnen.
Denn einst kömmt er zu dir, Babylon, aus den Lüften von oben,

Αὐτὰρ ἀπουρανόθεν καταβήσεται ἐξ ἁγίων σοι,
Καὶ θυμὸς τέκνοις αἰώνιος ἐξολοθρεύσει.
Καὶ τότ᾽ ἔσῃ ὡς ἦσθα προτοῦ, ὡς μὴ γεγοννῖα·
Καὶ τότε πλησθήσῃ ἀπὸ αἵματος, ὡς πάρος αὐτὴ
Ἐξέχεας ἀνδρῶν τ᾽ ἀγαθῶν ἀνδρῶν τε δικαίων,
Ὧν ἔτι καὶ νῦν αἷμα βοᾷ εἰς αἰθέρα μακρόν.
Ἥξει σοι πληγὴ μεγάλη, Αἴγυπτε, πρὸς οἴκους,
Δεινὴ, ἣν οὐ πώποτ᾽ ἐπήλπισας ἐρχομένην σοι.
Ῥομφαία γὰρ διελεύσεται διὰ μέσον σεῖο,
Σκορπισμὸς δέ τε καὶ θάνατος καὶ λιμὸς ἐφέξει,
Ἑβδομάτῃ γενεῇ βασιλήων, καὶ τότε παύσῃ.
Αἳ αἵ σοι, χώρα Γὼγ ἠδὲ Μαγὼγ, μέσον οὖσα
Αἰθιόπων ποταμῶν, πόσον αἵματος ἔκχυμα δέξῃ,
Καὶ κρίσεως οἴκησις ἐν ἀνθρώποισι κεκλήσῃ,
Καὶ πίεταί σου γαῖα πολύδροσος αἷμα κελαινόν.
Αἳ αἵ σοι, Λιβύη· αἳ αἳ δὲ, θάλασσά τε καὶ γᾶ·
Θυγατέρες δυσμῶν, ὡς ἥξετε πικρὸν ἐς ἦμαρ.
Ἥξετε καὶ χαλεποῖο διωκόμεναι ὑπ᾽ ἀγῶνος,
Δεινοῦ καὶ χαλεποῦ· δεινὴ κρίσις ἔσσεται αὖθις,
Καὶ κατ᾽ ἀνάγκην πάντες ἐλεύσεσθε ἐς ὄλεθρον,
Ἀνθ᾽ ὧν ἀθανάτοιο μέγαν διεδηλήσασθε
Οἶκον, ὀδοῦσι σιδηρείοις τ᾽ ἐμασήσατε δεινῶς.
Τοὔνεκα δὴ νεκρῶν πλήρη σὴν γαῖαν ἐπόψει,
Τοὺς μὲν ὑπὸ πολέμου, καὶ πάσης δαίμονος ὁρμῆς,
Λιμοῦ καὶ λοιμοῦ, ὑπὸ δ᾽ ἐχθρῶν βαρβαροθύμων.
Γαῖα ἔρημος ἅπασα σέθεν, καὶ ἔρημα πόληος.
Ἐν δὲ δύσει ἀστὴρ λάμψει, ὃν ἐροῦσι κομήτην,
Ῥομφαίας, λιμοῦ, θανάτοιό τε σῆμα βροτοῖσιν,
Ἡγεμόνων τε φθορὰν ἀνδρῶν μεγάλων τ᾽ ἐπισήμων.
Σήματα δ᾽ ἔσσεται αὖθις ἐν ἀνθρώποισι μέγιστα·
Καὶ γὰρ Μαιῶτιν λίμνην Τάναϊς βαθυδίνης
Λείψει, καδδὲ ῥόον βαθὺν αὔλακος ἔσσεται ὁλκὸς
Καρποφόρου, τὸ δὲ ῥεῦμα τὸ μυρίον αὐχέν᾽ ἐφέξει.
Χάσματα, ἠδὲ βάραθρ᾽ ἀχανῆ· πολλαὶ δὲ πόληες
Αὔτανδροι πεσέονται· ἐν Ἀσσίδι μὲν Ἰασσὶς,
Κέβρη, Πανδονίη, Κολοφὼν, Ἔφεσος, Νίκαια,
Ἀντιόχεια, Τάναγρα, Σινώπη, Σμύρνη, Μαροσύνη,
Εὐρώπης δὲ Σκύαγρα, Κλίτος, Βασιλὶς, Μερόπεια,
Ἀντιγόνη, Μαγνησία, Μυκήνη, Πάνθεια,
Γάζα πανολβίστη, Ἱεράπολις, Ἀστυπάλαια.
Ἴσθι τότ᾽, Αἰγύπτου ὀλοὸν γένος, ἐγγὺς ὀλέθρου,

Und aus dem Heiligen steigt er zu dir von dem Himmel hernieder,
Und der ewige Zorn wird den Kindern Verderben bereiten.
Dann wirst du sein, wie früher du warst, wie niemals gewesen;
Und vom Blute wirst du dann erfüllt, so wie früher du selber
Blut der Männer vergossest, der trefflichen und der gerechten,
Deren Blut noch jetzt zu dem grossen Himmel emporschreit.
Dich Aegypten wird einst grosse Plage befallen zu Hause,
Schreckliche, welche du nie gedacht, dass sie dich würde treffen.
Denn es wird ein mächtiges Schwert dich mitten durchfahren,
Und Zerstreuung und Tod und Hunger wird dich überwält'gen,
In dem siebenten Herrschergeschlecht, dann bist du zu Ende.
Wehe dir, wehe, du Land von Gog und Magog, das inmitten
Der Aethiopier Flüsse da liegt; welch' Vergiessen des Blutes
Wirst du empfah'n, und unter den Menschen genannt das Gerichtshaus,
Und dein vielbethauetes Land das dunkele Blut trinkt.
Wehe dir, Libyen, weh, weh, weh dir, du Meer und du Erde!
Töchter des Abendlands, wie gelangt ihr zum bitteren Tage.
Und er wird euch erreichen, wenn euch verfolget der schwere
Kampf, der schrecklich und schwer; wieder wird ein schrecklich Gericht sein,
Und ihr werdet im Zwang allesammt das Verderben erfahren;
Weil ihr das grosse Haus des Unsterblichen habet vernichtet,
Und mit eisernem Zahn es schrecklich habet zernaget.
Drum wirst du dein Land nur sehn von Todten erfüllet,
Theils gefallen im Krieg und jeglicher Wucht des Geschickes,
Theils durch Hunger und Pest und Feinde barbarischen Sinnes.
Ganz ist das Land verödet von dir, auch die Stadt ist verlassen.
Aber ein Stern gen Abend erglänzt, man nennt ihn Kometen,
Der ist ein Zeichen des Schwerts, des Hungers und Todes den Menschen,
Und des Verlusts von Herrschern, von grossen und trefflichen Männern.
Und es geschehen nochmals bei den Menschen gewaltige Zeichen:
Denn es verlässt den Mäotischen See der tiefluthende Tanais,
Und in dem tiefen Strom wird die Spur fruchtbringender Furche
Sein, und die Landenge wird der Strom unermesslich bedecken.
Abgründe gähnen und Klüfte, es werden die Städte in Menge
Sinken sammt den Menschen dahin: in Asien Jassos,
Kebra, Pandonia und Kolophon, Ephesus und Nicäa,
Antiochien, Tanagra, Sinope, Smyrna, Marosyne;
Und in Europa Kyagra, Klitos, Basilis, Meropäa,
Antigone, Magnesia, Mycene und Panthäa;
Gaza vor allen beglückt, Hierapolis, Astypaläa.
Wisse alsdann ist das böse Geschlecht der Aegypter dem Tode

Καὶ τότ᾽ Ἀλεξανδρεῦσιν ἔτος τὸ παρελθὸν ἄμεινον.
Ὁππότε δασμοφόρους Ἀσίης ὑπεδέξατο Ῥώμη,
Χρήματά κεν τρὶς τόσσα δεδέξεται ἔμπαλιν Ἀσσὶς
Ἐκ Ῥώμης, ὀλοὴν δ᾽ ἀποτίσεται ὕβριν ἐς αὐτήν.
Ὅσσοι δ᾽ ἐξ Ἀσίης Ἰταλῶν δόμον ἀμφεπόλευσαν,
Εἰκοσάκις τοσσοῦτον ἐν Ἀσσίδι θητεύσουσιν
Οἱ Ἰταλοὶ πενίην ἀνὰ μυρίαν ὀφλήσουσιν.
Ὦ χλιδανὴ ζάχρυσε Λατινίδος ἔκγονε Ῥώμης
Παρθένε, πολλάκι σοῖσι πολυμνήστοισι γάμοισιν
Οἰνωθεῖσα λάτρις νυμφεύσεαι οὐκ ἐνὶ κόσμῳ.
Πολλάκι δ᾽ ἁβρὴν σεῖο κόμην δέσποινά τε κείρει,
Ἠδὲ, δίκην διέπουσα, τὰ οὐρανόθεν ποτὶ γαῖαν
Ῥίψει, ἐκ δὲ γαίης πάλιν οὐρανὸν εἰς ἀνεγείρει,
Ὅττι βροτοὶ φαύλου ζωῆς ἀδίκου τ᾽ ἐνέχοντο.
Ἔσται καὶ Σάμος ἄμμος, ἐσεῖται Δῆλος ἄδηλος,
Καὶ Ῥώμη ῥύμη· τὰ δὲ θέσφατα πάντα τελεῖται.
Σμύρνης δ᾽ ὀλλυμένης οὐδεὶς λόγος ἔκδικος ἔσται,
Ἀλλὰ κακαῖς βουλαῖσι καὶ ἡγεμόνων κακότησιν.
Εἰρήνη δὲ γαληνὸς ἐν Ἀσσίδι γαῖα ὀδεύσει.
Εὐρώπη δὲ μάκαιρα τότ᾽ ἔσσεται, εὔβοτος αἰθὴρ,
Πουλυετὴς, εὔρωστος, ἀχείματος, ἠδ᾽ ἀχάλαζος,
Πάντα φέρων καὶ πτηνὰ καὶ ἑρπετὰ θηρία γαίης.
Ὦ μακαριστὸς, ἐκεῖνον ὃς ἐς χρόνον ἔσσεται ἀνὴρ,
Ἠὲ γυνὴ, μακάρων κενεήφατος ὅσσον ἄγραυλος·
Εὐνομίη γὰρ πᾶσα ἀπ᾽ οὐρανοῦ ἀστερόεντος
Ἥξει᾽ ἐπ᾽ ἀνθρώπους, ἠδ᾽ εὐδικίη, μετὰ δ᾽ αὐτῆς
Ἡ πάντων προφέρουσα βροτοῖς ὁμόνοια σαόφρων,
Καὶ στοργὴ, πίστις, φιλίη ξείνων· ἀπὸ δ᾽ αὐτῶν
Ἠδέ τε δυσνομίη, μῶμος, φθόνος, ὀργὴ, ἄνοια.
Φεύξετ᾽ ἀπ᾽ ἀνθρώπων πενίη, καὶ φεύξετ᾽ ἀνάγκη,
Καὶ φόνος, οὐλόμεναί τ᾽ ἔριδες, καὶ νείκεα λυγρὰ,
Καὶ νυκτοκλοπίαι, καὶ πᾶν κακὸν ἤμασι κείνοις.
Ἀλλὰ Μακηδονίη βαρὺ τέξεται Ἀσσίδι πῆμα,
Εὐρώπης τε μέγιστον ἀνασταχυώσεται ἄλγος
Ἐκ γενετῆς Κρονίδαο νόθων, δούλων τε γενέθλης.
Κείνη καὶ Βαβυλῶνα πόλιν δεδομήσετ᾽ ἐρυμνὴν,
Καὶ πάσης ὁπόσης ἐπιδέρκεται ἥλιος αἴης
Δεσπότις αὐδηθεῖσα, κακαῖς ἄτῃσιν ὀλεῖται,
Οὐ νόμον ὀψιγόνοισι πολυπλάγκτοισιν ἔχουσα.
Ἥξει καί ποτ᾽ ἄπυστ᾽ [εἰς] Ἀσσίδος ὄλβιον οὖδας,
Ἀνὴρ πορφυρέην λώπην ἐπιειμένος ὤμοις,

Nah, Alexandrien ist das verflossene Jahr dann das beste.
Wieviel Rom auch immer vom zinsbaren Asien wegnahm,
Asien wird wiederum von Rom erhalten die Schätze
Dreifach zurück und den schrecklichen Stolz gegen jenes abbüssen;
Und soviel Asiaten das Haus der Italer bestellet,
Zwanzigmal mehr werden dann Italer in Asien als Knechte
Dienen von Armuth bedrängt, und sich viel Uebeles zuziehn.
O du zarter und goldreicher Spross der lateinischen Roma,
Jungfrau, welche so oft bei vielumfreieter Buhlschaft
Weinberauscht war, als Dienerin wirst du vermählt in der Welt nicht;
Aber dein üppiges Haar wird dir oft die Herrin abscheeren,
Und die Strafe anordnend das Himmlische hin zu der Erde
Schleudern und wiederum von der Erde zum Himmel erheben;
Weil die Menschen verstrickt sind in schlechtes und gottloses Leben.
Auch wird Samos zu Sand und Delos wird ungekannt liegen,
Und zur Gasse wird Rom, und erfüllt werden alle Orakel.
Und geht Smyrna zu Grund, so erhebt kein Wort sich zum Schutze;
Sondern durch Pläne die schlecht, stürzt es und durch Herrscher-Verruchtheit.
Aber in Asien wird das Land stiller Friede durchziehen.
Auch Europa wird dann beglückt sein; der Himmel wohl nährend,
Immerdar heiter, gesund, ohne Stürme und auch ohne Hagel,
Bringt er alles hervor was fliegt und was wimmelt auf Erden.
O glückseliger Mann, oder Weib, welche in jenen Zeiten
Leben, so lang als ruhmlos im Freien die Glücklichen leben:
Denn jedes gute Gesetz wird herab vom strahlenden Himmel
Zu den Menschen gelangen, Gerechtigkeit auch und mit dieser,
Welche vor allen den Sterblichen nützt, die verständige Eintracht,
Liebe und Treu' und Gastfreundschaft; aber fern ist von ihnen
Zwietracht sowohl als Tadel und Neid, als Zürnen und Thorheit.
Armuth wird vor den Menschen fliehn, entfliehen der Zwang auch,
Und der Mord und verderblicher Streit und trauriges Hadern,
Nächtliche Diebstähle und jedes Uebel in jenen Tagen.
Doch Macedonien wird schwer Unheil für Asien bereiten,
Und es spriesset hervor das grösste Leid für Europa
Aus der unächten Kroniden Geschlecht und dem Stamme der Sklaven.
Jenes wird Babylon auch, die gefestete Stadt überwält'gen,
Und die man auf der Erd' überall wo die Sonne nur scheinet
Herrscherin nennet, die wird in herbem Verluste zu Grund gehn,
Ohne Gesetz für die späteren weit verschlagenen Kinder.
Auch wird kommen dereinst in Asiens glückliche Lande
Plötzlich ein Mann, die Schultern bedeckt mit purpurnem Mantel,

Ἄγριος, ἀλλοδίκης, φλογόεις· ἦγειρε γὰρ αὐτὸν
Πρόσθε κεραυνὸς φῶτα· κακὸν δ' Ἀσίη ζυγὸν ἕξει
Πᾶσα, πολὺν δὲ χθὼν πίεται φόνον ὀμβρηθεῖσα.
Ἀλλὰ καὶ ὡς πανάϊστον ἅπαντ' Ἀΐδης θεραπεύσει·
Ὧν δή περ γενεὴν αὐτὸς θάλει ἐξαπολέσσαι,
Ἐκ τῶν δὴ γενεῆς κείνου γένος ἐξαπολεῖται·
Ῥίζαν ἴαν γε διδοὺς, ἣν καὶ κόψει βροτολοιγὸς
Ἐκ δέκα δὴ κεράτων, παρὰ δὲ φυτὸν ἄλλο φυτεύσει.
Κόψει πορφυρέης γενεῆς γενετῆρα μαχητὴν,
Καὐτὸς ἀφ' υἱῶν, ὧν ἐς ὁμόφρονα αἴσιον ἄρρης,
Φθεῖται· καὶ τότε δὴ παραφυόμενον κέρας ἄρξει.
Ἔσται καὶ Φρυγίῃ δὲ φερεσβίῳ αὐτίκα τέκμαρ,
Ὁππότε κεν Ῥείης μιαρὸν γένος, ἐν χθονὶ ῥεῦμα,
Ἀένναον ῥίζῃσιν ἀδιψήτοισι τεθηλὸς,
Αὐτόπρεμνον πανάϊστον ἰῇ ἐν νυκτὶ γένηται,
Ἐν πόλει Ἀντάνδρου τε σεισίχθονος Ἐννοσιγαίου,
Ἣν τότε φημίξουσιν ἐπωνυμίην Δορύλαιον,
Ἀρχαίης Φρυγίης πολυδακρύτοιο κελαινῆς.
Ἔστ' ἄρα καιρὸς ἐκεῖνος ἐπωνυμίην ἐνοσίχθων·
Κευθμῶνας γαίης σκεδάσει, καὶ τείχεα λύσει.
Σήματα δ' οὐκ ἀγαθοῖο, κακοῖο δὲ φύσεται ἀρχή·
Παμφύλου πολέμοιο δαήμονας [ἄξει] ἀνάγκας,
Αἰνεάδας [γε] διδοὺς αὐτόχθονας, ἐγγενὲς αἷμα.
Ἀλλὰ καὶ αὖθις ἔλωρ ἐπὶ ἀνθρώποισιν ἐρασταῖς.
Ἴλιον, οἰκτείρω σε· κατὰ Σπάρτην γὰρ Ἐριννὺς
Βλαστήσει περικαλλὲς ἀείφατον ἔρνος ἄριστον,
Ἀσσίδος Εὐρώπης τε πολυσπερὲς οἶδμα λιποῦσα·
Σοὶ δὲ μάλιστα γόους, μόχθους, στοναχάς τε φέρουσα
Θήσει· ἀγήρατον δ' ἕξει κλέος ἐσσομένοισι.
Καί τις ψευδογράφος πρέσβυς βροτὸς ἔσσεται αὖθις,
Ψευδόπατρις· δύσει δὲ φάος ἐν ὀπῇσιν ἔῃσι·
Νοῦν δὲ πολὺν, καὶ ἔπος θ' ἕξει ἄμετρον διανοίας
Οὐνόμασι δυσὶ μισγόμενον· Χῖον δὲ καλέσσει
Αὐτὸν, καὶ γράψει τὰ κατ' Ἴλιον, οὐ μὲν ἀληθῶς,
Ἀλλὰ σαφῶς, ἔπεσι γὰρ ἐμοῖς, μέτρων τε κρατήσει·
Πρῶτος γὰρ χείρεσσιν ἐμὰς βίβλους ὀνομήνῃ·
Αὐτὸς δ' αὖ μάλα κοσμήσει πολέμοιο κορυστὰς,
Ἕκτορα Πριαμίδην, καὶ Ἀχιλλέα Πηλείωνα,
Τούς τ' ἄλλους, ὁπόσοις πολεμήϊα ἔργα μέμηλε.
Καί γε θεοὺς τούτοισι παρίστασθαί γε ποιήσει,
Ψευδογραφῶν κατὰ πάντα τρόπον μέροπας κενοκράνους.

Wild, falsch richtend, voll Feu'r; denn es rief ihn zum Lichte ein Blitzstrahl.
Und ganz Asien wird alsdann eine böse Bedrückung
Leiden, und vielen Mord die befeuchtete Erde einschlürfen.
Aber auch so wird ihn, den Alles Verderber der Hades
Raffen hinweg, und deren Geschlecht vertilgen er wollte,
Durch deren Spross wird sein eigen Geschlecht dann selber zu Grund gehn.
Ob eine Wurzel er hat, auch sie mäht ab der Verderber
Aus zehn Hörnern, und pflanzt daneben die andere Pflanze;
Haut den streitbaren Vater ab, den vom Purpur-Geschlechte,
Und er wird von den Söhnen, welchen einmüthig das Kriegsglück
Hold ist, vertilget und dann wird herrschen das Horn, so dazu wuchs.
Auch das fruchtbare Phrygien wird bald ein Zeichen erfahren;
Wann der Rhea beflecktes Geschlecht, das in Menge auf Erden,
Und das für immerdar aus ganz trockenem Holze hervorgieng,
Sammt und sonders in Einer Nacht wird plötzlich zu Grund gehn,
In des Antanders Stadt, Neptuns des Erdeerschüttrers,
Welche man dann Doryläum wird mit Namen benennen,
Phrygiens Stadt, des alten, des vielbeweinten und dunkeln.
Und jene Zeit wird dann benannt nach dem Erdeerschüttrer,
Welcher der Erde Geklüft zersprengt und die Mauern zerstöret.
Zeichen nichts Gutes bedeutend; es sprosst der Anfang des Unglücks.
Kundige Kriegsnoth wird von allen Völkern herführen
Er der das Urvolk die Äneaden erzeugt, die verwandten.
Aber auch er wiederum wird fallen durch seine Verehrer.
Ilion dich beklag' ich; es lässt die Erinnys in Sparta
Sprossen hervor einen trefflichen Zweig, sehr schön und gerühmet,
Und hinterlässt über Asien weit und Europa die Brandung.
Dir aber wird sie zumeist es bereiten, wenn Klagen sie herführt,
Elend und Stöhnen. Jedoch hat sie ewigen Ruhm bei den Spätern.
Und nachher wird ein alter Mann, mit erlogener Heimath,
Lügen berichten; das Licht wird dunkeln in seinen Augen.
Vielen Verstand hat er, und verständigen Sinn die Erzählung.
Aus zwei Namen gemischt, aus Chios wird er sich selber
Nennen, und Ilions Loos beschreiben; doch nicht wie es wahr ist:
Aber offenbar sich meiner Worte und Verse bemächt'gen.
Denn mit den Händen zuerst wird er meine Bücher entfalten;
Dann aber seinerseits sehr schmücken die Helden des Krieges,
Hektor des Priamus Sohn und den Peleiden Achilles,
Und die übrigen auch, die gepflogen der Werke des Krieges.
Auch die Götter lässt er zu Hilfe kommen den Helden,
Lügen erzählend auf jegliche Art den leichtgläubigen Menschen.

Καὶ θανέειν μᾶλλον τοῖσι κλέος ἔσσεται εὐρὺ
Ἴλιον [ἀμφὶ]· καὶ αὐτὸς ἀμοιβαῖα λέξεται ἔργα.
Καὶ Λυκίῃ Λόκροιο γένος κακὰ πολλὰ φυτεύσει.
Χαλκηδὼν στενοῖο πόρον πόντοιο λαχοῦσα,
Καί σε μολὼν τότε παῖς Αἰτώλιος ἐξεναρίξει.
Κύζικε, καί σοι πόντος ἀποῤῥήξει βαρὺν ὄλβον.
Καὶ σὺ τότ' ἄρα, Βυζάντιον, Ἀσσίδι στέρξῃ,
Καὶ δὴ καὶ στοναχὰς λήψῃ, καὶ ἀνήριθμον αἷμα.
Καὶ κράτος ὑψηλὸν Λυκίης ὄρος ἐκ κορυφαίων,
Χάσματ' ἀνοιγομένης πέτρης, κελαρύξεται ὕδωρ,
Μέχρι τε καὶ πατέρων μαντήϊα σήματα παύσῃ.
Κύζικ' ὦ οἰκήτειρα Προποντίδος οἰνοπόλοιο,
Ῥύνδακος ἀμφί σε κῦμα κορυσσόμενον σμαραγήσει.
Καὶ σὺ, Ῥόδος, πουλὺν μὲν ἀδούλωτος χρόνον ἔσσῃ,
Ἡμερίῃ θυγάτηρ, πουλὺς δέ τοι ὄλβος ὄπισθεν
Ἔσσεται, ἐν πόντῳ δ' ἔξεις κράτος ἔξοχον ἄλλων.
Ἀλλὰ μεταῦθις ἔλωρ ἔσῃ ἀνθρώποισιν ἐρασταῖς,
Κάλλεσιν ἠδ' ὄλβῳ δεινὸν ζυγὸν αὐχένι θήσῃ.
Λύδιος αὖ σεισμὸς δὲ τὰ Περσίδος ἐξεναρίξει,
Εὐρώπης τ' Ἀσίης τε λεὼς ῥίγιστά περ ἀλγῇ.
Σιδονίων δ' ὀλοὸς βασιλεὺς, καὶ φύλοπις ἄλλων,
Ποντοπόρον Σαμίοις ὀλοὸν δείξουσιν ὄλεθρον.
Αἵματι μὲν δάπεδον κελαρύξεται εἰς ἅλα φωτῶν
Ὀλλυμένων· ἄλοχοι δὲ σὺν ἀγλαοφαρέσι κούραις
Ὑβριν ἀεικελίην ἰδίην ἀποθωρήξουσι,
Ταὶ μὲν ὑπὲρ νεκύων, ταὶ δ' ὀλλυμένων ὑπὲρ υἱῶν.
Σημεῖον Κύπρου, σεισμῷ φθίσει δὲ φάλαγγας,
Καὶ πολλὰς ψυχὰς ἀΐδης ὁμοθυμαδὸν ἕξει.
Τράλλις δ' ἡ γείτων Ἐφέσου σεισμῷ καταλύσει
Τείχεά τ' εὐποίητ' ἀνδρῶν τ' ὀλοῶν βαρυθύμων·
Ὀμβρήσει δέ τε γαῖα ὕδωρ ζεστόν· ποτὶ δ' αὐτοὺς
Γαῖα βαρυνομένη πίεται, ὀσμὴ δέ τε θείου.
Καὶ Σάμος ἐν καιρῷ βασιλήϊα δώματα τεύξει.
Ἰταλίη, σοὶ δ' οὔτις Ἄρης ἀλλότριος ἥξει,
Ἀλλ' ἐμφύλιον αἷμα πολύστονον, οὐκ ἀλαπαδνὸν,
Πουλυθρύλλητόν τε ἀναιδέα τε κεραΐξει.
Καὶ δ' αὐτὴ θερμῇσι παρὰ σποδιῇσι ταθεῖσα,
Ἃ προΐδῃ στήθεσσιν ἑοῖς, ἐναρίξεται αὐτήν.
Ἔσσῃ δ' οὐκ ἀγαθῶν μήτηρ, θηρῶν δὲ τιθήνη.
Ἄλλος ἀπ' Ἰταλίης λυμήτης [πάλιν] ἵξεται ἀνήρ.
Τῆμος, Λαοδίκεια, καταπρηνὴς ἔρπουσα,

Auch wird der Tod ihnen mehr zum weitverbreiteten Ruhme
Dienen um Ilion. Auch abwechselnd besingt er die Thaten.
Lycien auch wird des Locros Geschlecht viele Uebel bereiten.
Chalcedon, das du eine Bahn durch die Enge des Meer's hast,
Wann das Aetolische Kind kommt; dann wird auch dich es vernichten.
Kyzikus, auch dir wird das Meer grossen Reichthum entreissen.
Auch an Asien wird dir, Byzanz, sein das Genügen.
Auch wirst du Stöhnen erfahren und zahllos Vergiessen des Blutes.
Auch wird Lyciens Kraft, das hohe Gebirg, von den Höhen
Oeffnen das Felsengeklüft und brausend die Wasser ergiessen,
Bis aufhören dereinst der Väter wahrsagende Zeichen.
Kyzikus, das du Propontis bewohnst und handelst mit Weinen,
Um dich herum der Rhyndakus braust mit schwellenden Wogen.
Rhodus, auch du wirst längere Zeit von Knechtschaft befreit sein,
Tochter des Tags, und hernach auch vielen Reichthum besitzen;
Und du wirst auf dem Meer die Macht vor Anderen haben.
Aber nachher wirst du eine Beute für gierige Menschen,
Durch deine Schönheit und Glück ein schreckliches Joch dir aufladen.
Bei'm Erdbeben in Lydien drauf wird Persien zu Grund gehn,
Ob auch Europas und Asiens Volk es bitter betrauert.
Sidons verderblicher König und Anderer reisige Kriegsschaar
Werden vernichtenden Tod übers Meer zu den Samiern bringen.
Und zum Meere hin wird vom Blut der gefallenen Männer
Rinnen das Land; und die Gattinnen mit den geschmücketen Jungfraun
Werden die eigne unziemliche Schmach sehr bitter beklagen;
Diese wegen der Todten, die ob der gefallenen Söhne.
Cyperns Zeichen: durch Erdbeben wirds die Schaaren vertilgen;
Und auf Einmal wird viele Seelen der Hades empfangen.
Trallis jedoch bei Ephesus werden die trefflichen Mauern
Böser hartherziger Menschen durch Erdbeben zerstöret;
Siedendes Wasser benetzt die Erde; dazu wird auch sie selbst
Schlürfen die schwere Erde hinein, und die Schwefelgerüche.
Und in der Zeit wird Samos Königs-Palläste erbauen.
Aber Italien, dir kömmt nicht von Aussen die Kriegsnoth;
Sondern verwandtes Geblüt, furchtbar, nicht leicht zu bezwingen,
Weit berühmt, dies wird dich, du unverschämte, verwüsten.
Auch wirst du selber, dahin bei heisser Asche gestrecket,
Weil du vorher es im Geiste geschaut, dich selber vernichten.
Mutter des Guten bist du nicht mehr, sondern Thiere erziehst du.
Aus Italien kömmt ein anderer Mann der Verwüstung.
Dann wirst du, Laodicäa, im jähen Sturtze vernichtet,

Καρῶν ἀγλαὸν ἄστυ, Λύκου παρὰ θέσκελον ὕδωρ,
Σιγήσεις μεγάλαυχον ἀποιμώξασα τοκῆα.
Θρῇκες ἀκρόβυζοι ἀναστήσονται ἀν' Αἷμον.
Καμπανοῖς ἄραβος πέλεται διὰ τὸν πτολίπορθον
Λιμόν· πουλυετῇ δὲ ἀποιμώξασα τοκῆα
Κύρνος, καὶ Σαρδὼ, μεγάλαις χειμῶνος ἀέλλαις,
Καὶ πληγαῖς ἁγίοιο Θεοῦ, κατὰ βένθεα πόντου
Λύσονται κατὰ κῦμα θαλασσείοις τεκέεσσιν.
Αἲ αἲ, παρθενικὰς ὁπόσας νυμφεύσετ' ἀΐδης,
Καὶ κούρους τοὺς ἀκτερέας βυθὸς ἀμφιπολεύσει·
Αἲ αἲ, νήπια τέκν' ἀλινηχέα, καὶ βαρὺν ὄλβον.
Μυσῶν γαῖα μάκαιρα γένος βασιλήϊον ἄφνω
Τεύξεται. Οὐ μὴν πουλὺν ἐπὶ χρόνον ἔσσετ' ἀληθῶς
Καρχηδών. Γαλάταις δὲ πολύστονος ἔσσεται οἶκτος.
Ἥξει καὶ Τενέδῳ κακὸν ἔσχατον, ἀλλὰ μέγιστον·
Καὶ Σικυὼν χαλκέοις ὑλάγμασι, καί σε, Κόρινθε,
Αὐχήσει ἐπὶ πᾶσιν, ἴσον δὲ βοήσεται αὐλός.

* * *

Ἥνίκα δή μοι θυμὸς ἐπαύσατο ἔνθεον ὕμνον,
Καὶ πάλι μοι μεγάλοιο Θεοῦ φάτις ἐν στήθεσσιν
Ἵστατο, καί μ' ἐκέλευσε προφητεῦσαι κατὰ γαῖαν.
Αἲ αἲ, Φοινίκων γένος ἀνδρῶν ἠδὲ γυναικῶν,
Καὶ πάσαις πόλεσι παραλίαις· οὐδεμί ὑμῶν
Πρὸς φάος ἠελίοιο παρέσσεται ἐν φαὶ κοινῷ,
Οὐδ' ἔτι τῆς ζωῆς ἀριθμὸς καὶ φῦλον ἔτ' ἔσται,
Ἀντ' ἀδίκου γλώττης, ἀνόμου τε βίου καὶ ἀνάγνου,
Ὃν κατέτριψαν πάντες, ἀνοίγοντες στόμ' ἄναγνον,
Καὶ δεινοὺς διέθεντο λόγους, ψευδεῖς τ', ἀδίκους τε,
Κἄστησαν κατέναντι Θεοῦ μεγάλου βασιλῆος,
Κἤνοιξαν ψευδῶς μυσαρὸν στόμα. Τοὔνεκ' ἄρ' αὐτοὺς
Ἐκπάγλως πληγαῖσι δαμάσσειεν παρὰ πᾶσαν
Γαῖαν, καὶ πικρὴν μοίρην πέμψει Θεὸς αὐτοῖς,
Ἐξ ἐδάφους φλέξας πόλιας καὶ πολλὰ θέμεθλα.
Αἲ αἲ σοι, Κρήτη πολυώδυνε, εἰς σέ περ ἥξει
Πληγὴ, καὶ φοβερὰ αἰώνιος ἐξαλαπάξει·
Καί σε καπνιζομένην πᾶσα χθὼν ὄψεται αὖθις,
Κοὔ σε δι' αἰῶνος λείψει πῦρ, ἀλλὰ καήσῃ.
Αἲ αἲ σοι, Θρῇκη, ζυγὸν ὡς εἰς δούλιον ἴξῃ,
Ἥνίκα σύμμικτοι Γαλάται τοῖς Δαρδανίδαισιν
Ἑλλάδ' ἐπεσσυμένως πορθέοντ', τότε σοι κακὸν ἔσται·
Γαίῃ δ' ἐν ἀλλοτρίῃ δώσεις ἠδ' ἔτι λήψῃ.

Ruhmreiche Stadt der Karer, am herrlichen Wasser des Lykus,
Schweigen nachdem du beweint hast deinen stolzen Erzeuger.
Thrazier von Akro-Byzanz werden ziehen hinauf zu dem Hämus.
Den Kampaniern wird ein Schrecken durch Hunger entstehen,
Welcher die Städte verheert. Aber wenn den alten Erzeuger
Kyrnos beweint und Sardo bei heftigen Stürmen des Winters
Und bei den Schlägen des heiligen Gotts: in die Tiefen des Meeres
Werden sie dann versenkt, in die Fluth zu den Kindern des Meeres.
Wehe, wehe, wie viel Jungfraun wird der Hades sich antraun;
Jünglinge auch, welche nicht beerdigt, versorget der Abgrund.
Weh, weh, Kindlein treiben im Meer und Fülle des Reichthums.
Plötzlich wird ein Königs-Geschlecht die glückliche Erde
Mysiens bringen hervor. Doch wahrlich nicht lange wird währen
Karchedon. Und den Galatern wird eine schmerzliche Trauer.
Auch über Tenedos kömmt das letzte, doch grösste des Unglücks.
Sicyon auch im klirrenden Erz, und du, o Korinth, auch,
Das vor Allen sich rühmt; doch ebenso raset der Kriegslärm.

* * *

Aber als mir das Gemüth ausruhte vom göttlichen Sange;
Da erhob wiederum die Rede des mächtigen Gottes
Sich in der Brust mir und gegen die Erde zu reden befahl er.
Wehe, weh, du Phöniker Geschlecht von Männern und Frauen,
Und allen Städten am Meer gelegen; von euch wird ja keine
Kommen zum Lichte der Sonne in dem gemeinsamen Lichte.
Nicht wird mehr eine Zahl des Lebens und ein Geschlecht sein,
Wegen gottloser Reden, gesetz- und zuchtlosen Lebens,
Welches ein Jeder geübt, wann den unreinen Mund er geöffnet.
Weil man abscheuliche Reden geführt, voll Lügen und Unrecht,
Und sich Gott gegenüber gesetzt, dem mächtigen König,
Und zum Trug den garstigen Mund geöffnet: drum wird er
Schrecklich züchtigen sie mit Schlägen über die ganze
Erde; es sendet der Herr über sie das grause Verderben,
Wann er von Grund aus verbrennt die Städte und viele Gebäude.
Wehe dir, Kreta, weh, mit Schmerz beladenes, dich wird
Treffen ein schrecklicher Schlag, der wird dich auf immer verwüsten;
Und es wird dich nachher die sämmtliche Erde im Rauch sehn,
Und das Feuer verlässt dich nie, sondern gänzlich verbrennst du.
Wehe dir, Thrazien, weh, wie wirst du zur Knechtschaft gelangen,
Wann die Galater einst, vermischt mit den Dardaniden,
Griechenland mit Gewalt verheeren, dann trifft dich das Unglück:
Bringst Unheil in fremdes Gebiet, und wirst es empfangen.

Αἰ αἴ σοι, Γῶγ, καὶ πᾶσιν ἐφεξῆς ἅμα Μαγῶγ,
Μαρσῶν, ἠδ᾽ Ἀγγῶν, ὅσα σοι κακὰ μοῖρα πελάζει.
Πολλὰ δὲ καὶ Λυκίων υἱοῖς, Μυσῶν τε, Φρυγῶν τε.
Πολλὰ δὲ Παμφυλίων ἔθνη Λυδῶν τε πεσεῖται,
Μαύρων τ᾽, Αἰθιόπων τε, καὶ ἐθνῶν βαρβαροφώνων,
Καππαδόκων τ᾽, Ἀράβων τε. Τί δὴ κατὰ μοῖραν ἕκαστον
Ἐξαυδῶ; πᾶσι γὰρ, ὅσοι χθόνα ναιετάουσιν,
Ὕψιστος δεινὴν ἐπιπέμψει ἔθνεσι πληγήν.
Ἕλλησι δ᾽ ὁπόταν πολυβάρβαρον ἔθνος ἐπέλθῃ,
Πολλὰ μὲν ἐκλεκτῶν ἀνδρῶν ὀλέσειε κάρηνα·
Πολλὰ δὲ πίονα μῆλα βροτῶν διαδηλήσονται,
Ἵππων θ᾽, ἡμιόνων τε, βοῶν τ᾽ ἀγέλας ἐριμύκων·
Λώματα δ᾽ εὐποίητα πυρὶ φλέξουσιν ἀθέσμως·
Πολλὰ δὲ σώματα δοῦλα πρὸς ἄλλην γαῖαν ἀνάγκῃ
Ἄξουσιν· καὶ τέκνα, βαθυζώνους τε γυναῖκας
Ἐκ θαλάμων ἁπαλὰς, τρυφεροῖς ποσὶ πρόσθε πεσούσας,
Ὄψονται δεσμοῖσιν ὑπ᾽ ἐχθρῶν βαρβαροφώνων
Πᾶσαν ὕβριν πάσχοντας δεινήν· κοὐκ ἔσετ᾽ αὐτοῖς
Μικρὸν ἐπαρκέσσων πολέμου ζωῆς τ᾽ ἐπαρωγός.
Ὄψονταί τ᾽ ἰδίας κτήσεις καὶ πλοῦτον ἅπαντα
Ἐχθρὸν καρπίζοντα· τρόμος δ᾽ ὑπὸ γούνασιν ἕσται.
Φεύξονται δ᾽ ἑκατὸν, εἷς δ᾽ αὐτοὺς πάντας ὀλέσσει·
Πέντε δὲ κινήσουσι βαρὺν λόχον· οἱ δὲ πρὸς αὐτοὺς
Αἰσχρῶς φυρόμενοι πολέμῳ δεινῷ τε κυδοιμῷ,
Οἴσουσιν ἐχθροῖσι χαρὰν, Ἕλλησι δὲ πένθος.
Δούλειος δ᾽ ἄρα ζυγὸς ἔσσεται Ἑλλάδι πάσῃ·
Πάντα δ᾽ ὁμοῦ πόλεμός τε βροτοῖς καὶ λοιμὸς ἔτ᾽ ἔσται·
Χάλκειόν τε μέγαν τεύξει Θεὸς οὐρανὸν ὑψοῦ,
Ἀβροχίην τ᾽ ἐπὶ γαῖαν ὅλην· αὐτὴ δὲ σιδηρᾶ.
Αὐτὰρ ἔπειτα βροτοὶ δεινῶς κλαύσουσιν ἅπαντες
Ἀσπορίην καὶ ἀνηροσίην· καὶ πῦρ ἐπὶ γαίης
Κατθήσει πολύνηστον, ὃς οὐρανὸν ἔκτισε καὶ γῆν·
Πάντων δ᾽ ἀνθρώπων τὸ τρίτον [μέρος] ἔσσεται αὖθις.
Ἑλλὰς δὴ, τί πέποιθας ἐπ᾽ ἀνδράσιν ἡγεμόνεσσι
Θνητοῖς, οἷς οὐκ ἔστι φυγεῖν θανάτοιο τελευτήν;
Πρὸς τί τε δῶρα μάταια καταφθιμένοισι πορίζεις,
Θύεις τ᾽ εἰδώλοις; Τίς τοι πλάνον ἐν φρεσὶ θῆκε,
Ταῦτα τελεῖν, προλιποῦσα Θεοῦ μεγάλοιο πρόσωπον.
Οὔνομα παγγενέταο σέβας ἔχε, μηδὲ λάθῃ σε.
Χίλια δ᾽ ἔστ᾽ ἔτεα καὶ πένθ᾽ ἑκατοντάδες ἄλλαι,
Ἐξ οὗ δὴ βασίλευσαν ὑπερφίαλοι βασιλῆες

Wehe, wehe dir, Gog, und euch allen zugleich nach einander,
Magog, Marson und Aggon, wieviel bringt dir Böses das Schicksal.
Viel aber auch den Söhnen der Lyker, der Mysier und Phryger.
Auch wird viel Pamphylisches Volk und Lydisches fallen,
Maurer und Aethioper und Volk fremdredender Zunge,
Kappadoker und Araber: doch was soll ich erzählen
Jegliches, wie es sein Loos trifft; denn wer die Erde bewohnet,
Allen Völkern zumal schickt der Höchste erschreckliche Plage.
Wann aber ein ganz fremdes Volk die Hellenen bekrieget,
Wird's die Häupter von vielen erwähleten Männern vernichten,
Und viel fette Schafe der Menschen wird es zertheilen,
Pferde und Esel auch, und Schaaren laut brüllender Ochsen;
Und ohne Fug die stattlichen Häuser mit Feuer verbrennen,
Und viele Leiber mit Zwang als Sklaven in andere Länder
Führen hinweg; selbst Kinder und tiefgegürtete, zarte
Frauen aus den Gemächern, die nieder mit weichlichen Füssen
Fielen, die werden geschaut in Ketten ausländischer Feinde,
Leidend schreckliche Schmach aller Art; und nicht wird dann ihnen
Sein ein spärlicher Helfer im Krieg und ein Beistand im Leben.
Und den eignen Besitz und auch alle Reichthümer sieht man
Sammeln den Feind und es wird ein Zittern der Kniee dann geben.
Und ihrer Hundert entfliehn, und Einer vernichtet sie alle;
Fünf aber treiben Schaaren hinweg; aber untereinander
Schmachvoll sich mengend im schrecklichen Krieg und Schlachtengetümmel,
Werden sie Freude dem Feind, aber Leid den Hellenen erregen.
Aber ein Sklaven-Joch wird auf ganz Griechenland liegen;
Und es wird Alles zugleich sein, Krieg und Pest für die Menschen,
Und Gott wird in der Höh' den ehernen Himmel den grossen
Machen zur Dürre auf Erden zumal; sie selber ist eisern.
Aber es werden alsdann schrecklich alle Sterblichen jammern,
Dass man säen nicht kann und pflügen. Verderbliches Feuer
Bringt auf die Erde er auch, der Himmel und Erde geschaffen;
Und am Leben nur bleibt nachher ein Drittheil der Menschen.
Griechenland aber warum vertrautest du sterblichen Herrschern,
Welche dem endlichen Tod doch nicht zu entfliehen vermögen?
Und warum bringest du dar den Todten vergebliche Gaben;
Opferst den Götzen? Wer hat den Irrthum gelegt in die Seele
Dir, um dieses zu thun und den grossen Gott zu verlassen?
Allvaters Namen verehr', und nie sei dir er verborgen.
Tausend Jahr aber sind's und fünfhundert andere Jahre,
Seitdem über die Griechen geherrscht übermüthige Herrscher,

Ἑλλήνων, οἳ πρῶτα βροτοῖς κακὰ ἡγεμόνευσαν,
Πολλὰ θεῶν εἴδωλα καταφθιμένοις θανέοντων,
Ὧν ἕνεκεν τὰ μάταια φρονεῖν ὑμῖν ὑπεδείχθη.
Ἀλλ᾽ ὁπόταν μεγάλοιο θεοῦ χόλος ἔσσεται ὑμῖν,
Δὴ τότ᾽ ἐπιγνώσεσθε θεοῦ μεγάλοιο πρόσωπον.
Πᾶσαι δ᾽ ἀνθρώπων ψυχαὶ, μεγάλα στενάχουσαι,
Ἄντα πρὸς οὐρανὸν εὐρὺν ἀνασχόμενοι χέρας αὐτῶν,
Ἄρξονται βασιλῆα μέγαν ἐπαμύντορα κλήζειν,
Καὶ ζητεῖν ῥυστῆρα χόλου μεγάλοιο, τίς ἔσται.
Ἀλλ᾽ ἄγε, καὶ μάθε τοῦτο, καὶ ἐν φρεσὶ κάτθεο σῇσιν,
Ὅσσα περιπλομένων ἐνιαυτῶν κήδεα ἔσται.
Τοὺς Ἕλλας τ᾽ ἔῤῥεξε βοῶν ταύρων τ᾽ ἐριμύκων,
Πρὸς ναὸν μεγάλοιο θεοῦ ὁλοκαρπώσασα,
Ἐκφεύξει πολέμοιο δυσηχέος, ἠδὲ φόβοιο,
Καὶ λοιμοῦ, καὶ δοῦλον ὑπεκφεύξει ζυγὸν αὖθις.
Ἀλλὰ μέχρις γε τοσοῦδ᾽ ἀσεβῶν γένος ἔσσεται ἀνδρῶν,
Ὁππότε κεν τοῦτο προλάβῃ τέλος αἴσιμον ἦμαρ.
Οὐ γὰρ μὴ θύσητε θεῷ, μέχρι πάντα γένηται,
Ὅσσα μόνος βουλεύεται οὐκ ἀτέλευτα θεός γε,
Πάντα τελεσθῆναι· κρατερὴ δ᾽ ἐπικείσετ᾽ ἀνάγκη.
Εὐσεβέων ἀνδρῶν ἱερὸν γένος ἔσσεται αὖθις,
Βουλαῖς ἠδὲ νόῳ προσκείμενοι ὑψίστοιο,
Οἳ ναὸν μεγάλοιο θεοῦ περικυδανέουσι
Λοιβῇ τε, κνίσσῃ τ᾽, ἠδ᾽ αὖθ᾽ ἱεραῖς ἑκατόμβαις,
Ταύρων ζατρεφέων θυσίαις, κριῶν τε τελείων,
Πρωτοτόκων οἰῶν τε, καὶ ἀρνῶν πίονα μῆλα
Βωμῷ ἐπὶ μεγάλῳ ἁγίως ὁλοκαρπεύοντες.
Ἐν δὲ δικαιοσύνῃ, νόμου ὑψίστοιο λαχόντες,
Ὄλβιοι οἰκήσουσι πόλεις καὶ πίονας ἀγρούς.
Αὐτοὶ δ᾽ ὑψωθέντες ὑπ᾽ ἀθανάτοιο προφῆται
Καὶ μέγα χάρμα βροτοῖς πάντεσσι φέροντες.
Μούνοις γάρ σφιν δῶκε θεὸς μέγας εὔφρονα βουλὴν,
Καὶ πίστιν, καὶ ἄριστον ἐνὶ στήθεσσι νόημα·
Οἵτινες οὐκ ἀπάτῃσι κεναῖς οὐδ᾽ ἔργ᾽ ἀνθρώπων
Χρύσεα, καὶ χάλκεια, καὶ ἀργύρου, ἠδ᾽ ἐλέφαντος,
Καὶ ξυλίνων λιθίνων τε θεῶν εἴδωλα καμόντων,
Πήλινα, μιλτόχριστα, ζωογραφίας τυποειδεῖς,
Τιμῶντες, ὅσα κέν τε βροτοὶ κενεόφρονι βουλῇ·
Ἀλλὰ μὲν ἀείρουσι πρὸς οὐρανὸν ὠλένας ἁγνὰς,
Ὀρθριοι ἐξ εὐνῆς αἰεὶ χέρας ἁγνίζοντες
Ὑδατι, καὶ τιμῶσι θεὸν τὸν ἀεὶ μέγαν ὄντα,

Welche zuerst das Böse gelehrt die sterblichen Menschen;
Die viel Götzen-Bilder gemacht für die, welche todt sind,
Wegen welcher man euch unterwies auf Eitles zu sinnen.
Aber wann über euch kömmt der Zorn des allmächtigen Gottes,
Dann werdet ihr des grossen Gottes Antlitz erkennen.
Aber die Seelen der Menschen zumal werden seufzen gewaltig,
Und zum Himmel empor dem grossen die Hände erheben.
Und man beginnt einen Helfer zu nennen den mächtigen König,
Und des gewaltigen Zorns Abwehr, wer sie sei, zu erfragen.
Aber wohlan, erfahre auch dies und nimm es zu Herzen,
Wie viel Kümmerniss einst die gleitenden Jahre herführen.
Wann einst Hellas die brüllenden Ochsen und Stiere geopfert
Und zum Tempel des Herrn, des grossen, Speisopfer gebracht hat;
Wird es entgehn dem lärmenden Krieg und der Furcht und dem Pesthauch,
Wird es entrinnen nachher dem Joche, das Sklaven gebühret.
Aber es wird das Geschlecht der gottlosen Männer bis dahin
Währen, wann dieses Ende der Tag des Schicksals genommen.
Denn nicht sollet ihr Gott mehr opfern bis Alles geschehn ist;
Was der alleinige Gott beschliesst, dass es sich erfülle,
Das wird Alles erfüllt; es liegt ein gewaltiger Zwang drauf.
Später jedoch wird ein heilig Geschlecht gottesfürchtiger Menschen
Da sein, die sich dem Rath und dem Sinn des Höchsten ergeben,
Welche verherrlichen rings den Tempel des mächtigen Gottes
Mit Trankopfern und Duft und heiligen Hekatomben,
Opfern von wohlgemästeten Stieren und trefflichen Widdern,
Erstlings-Schafen und auch von fetten Zicklein der Lämmer,
Auf dem grossen Altar darbringend in heiligem Sinne.
Und in Gerechtigkeit und im Besitz der Gesetze des Höchsten
Werden die Glücklichen Städte und fettes Gelände bewohnen.
Aber erhöht vom Unsterblichen werden sie selbst die Propheten,
Und zu den Sterblichen all werden grosse Freude sie bringen.
Denn verständigen Rath hat die grosse Gottheit gegeben
Ihnen allein und Treu' und trefflichen Sinn in dem Herzen;
Sie, die nicht mit eitelem Trug die Gebilde der Menschen,
Goldene oder von Erz, von Elfenbein oder von Silber,
Und die Bilder von Holz oder Steinen hinfälliger Götzen,
Oder von Thon, mit Mennig gefärbt, thierähnliche Bilder
Ehren, wie immer der Mensch in eitelem Sinne es treibet;
Sondern welche zum Himmel die reinen Hände erheben
Früh vom Lager, und stets rein waschen mit Wasser die Hände;
Welche verehren den Herrn, die ewig allmächtige Gottheit,

Ἀθάνατον, καὶ ἔπειτα γονεῖς· μετὰ δ' ἔξοχα πάντων
Ἀνθρώπων ὁσίης εὐνῆς μεμνημένοι εἰσίν·
Κοὐδὲ πρὸς ἀρσενικοὺς παῖδας μίγνυνται ἀνάγνως,
Ὅσσα τε Φοίνικες, Αἰγύπτιοι, ἠδὲ Λατῖνοι,
Ἑλλάς τ' εὐρύχορος, καὶ ἄλλων ἔθνεα πολλὰ,
Περσῶν, καὶ Γαλατῶν, πάσης δ' Ἀσίης, παραβάντες
Ἀθανάτοιο Θεοῦ ἁγνὸν νόμον, ὃν παρέβησαν.
Ἀνθ' ὧν ἀθάνατος θήσει πάντεσσι βροτοῖσιν
Ἄτην, καὶ λιμὸν, καὶ πήματά τε στοναχάς τε,
Καὶ πόλεμον, καὶ λοιμὸν, ἰδ' ἄλγεα δακρυόεντα·
Οὕνεκεν ἀθάνατον γενέτην πάντων ἀνθρώπων
Οὐκ ἔθελον τιμᾷν ὁσίως, εἴδωλα δ' ἐτίμων
Χειροποίητα σέβοντες, ἃ ῥίψουσι βροτοὶ αὐτοὶ
Ἐν σχισμαῖς πετρῶν κατακρύψαντες δι' ὄνειδος,
Ὁππόταν Αἰγύπτου βασιλεὺς νέος ἕβδομον ἄρχῃ
Τῆς ἰδίης γαίης, ἀριθμούμενος ἐξ Ἑλλήνων
Ἀρχῆς, ἧς ἄρξουσι Μακέδονες ἄσπετοι ἄνδρες,
Ἔλθῃ δ' ἐξ Ἀσίης βασιλεὺς μέγας, αἰετὸς αἴθων,
Ὃς πᾶσαν σκεπάσει γαῖαν πεζῶν τε καὶ ἱππέων,
Πάντα δὲ συγκόψει, καὶ πάντα κακῶν ἀναπλήσει·
Ῥίψει δ' Αἰγύπτου βασιλήϊον· ἐκ δέ τε πάντα
Κτήμαθ' ἑλὼν ἐποχεῖται ἐπ' εὐρέα νῶτα θαλάσσης.
Καὶ τότε δὴ κάμψουσι Θεῷ μεγάλῳ βασιλῆϊ
Ἀθανάτῳ γόνυ λευκὸν ἐπὶ χθονὶ πουλυβοτείρῃ·
Ἔργα δὲ χειροποίητα πυρὸς φλογὶ πάντα πεσεῖται.
Καὶ τότε δὴ χάρμην μεγάλην Θεὸς ἀνδράσι δώσει·
Καὶ γὰρ γῇ καὶ δένδρα καὶ ἄσπετα ποίμνια μήλων
Δώσουσι καρπὸν τὸν ἀληθινὸν ἀνθρώποισιν
Οἴνου, καὶ μέλιτος γλυκεροῦ, λευκοῦ τε γάλακτος,
Καὶ σίτου, ὅπερ ἐστὶ βροτοῖς κάλλιστον ἁπάντων.
Ἀλλὰ σὺ μὴ μέλλων, βροτὲ ποικιλόμητι κακόφρον,
Ἀλλὰ παλίμπλαγκτος στρέψας, Θεὸν ἱλάσκοιο.
Θῦε Θεῷ ταύρων ἑκατοντάδας, ἠδὲ καὶ ἀρνῶν
Πρωτοτόκων, αἰγῶν τε, περιπλομέναισιν ἐν ὥραις.
Ἀλλά μιν ἱλάσκου, Θεὸν ἄμβροτον, αἴκ' ἐλεήσῃ.
Οὗτος γὰρ μόνος ἐστὶ Θεὸς, κοὐκ ἔστιν ἔτ' ἄλλος.
Τὴν δὲ δικαιοσύνην τίμα, καὶ μηδένα θλῖβε.
Ταῦτα γὰρ ἀθάνατος κέλεται δειλοῖσι βροτοῖσιν.
Ἀλλὰ σὺ τοῦ μεγάλοιο Θεοῦ μήνιμα φύλαξαι,
Ὁππότε κεν πάντεσσι βροτοῖς λοιμοῖο τελευτὴ
Ἔλθῃ, καὶ φοβεροῖο δίκης τύχωσι δαμέντες,

Die unsterbliche; dann ihre Eltern und darnach vor allen
Denken an Menschen, die ein keusches Lager besitzen;
Auch sich nicht unkeusch vermischen mit männlichen Kindern,
Wie die Phönizier thun, die Aegypter und auch die Lateiner;
Griechenland auch das gedehnte, und sehr viele andere Völker,
Perser und Galater und ganz Asien; die überschreiten
Gottes heilig Gesetz, des unsterblichen, das sie verachten.
Dafür wird der unsterbliche Gott alle Menschen heimsuchen
Mit Unheil und Hunger und auch mit Leiden und Klagen;
Mit Kriegsnoth und Pest und Thränen auspressenden Schmerzen:
Weil den Unsterblichen sie, den Erzeuger der sämmtlichen Menschen,
Heilig nicht halten gewollt; sondern weil sie Götzen verehrten,
Götzen von Händen gemacht, welche einst die Sterblichen selber
Werfen hinweg, im Felsengeklüft aus Scham sie verbergend,
Dann wann ein neuer König Aegyptens in siebenter Reihe
Herrscht übers eigene Land, gezählt nach der Herrschaft der Griechen,
Wo Macedonische Männer gewaltsam führen die Herrschaft;
Und von Asien aus ein mächtiger König, ein kühner
Adler heranzieht, der alles Land mit Fussvolk und Reitern
Deckt und Alles zermalmt und Alles mit Unglück erfüllet;
Und der zerstört das Aegyptische Reich und daraus alle Schätze
Raubt und hinweg sie führt auf dem breiten Rücken des Meeres.
Und dann werden sie vor dem grossen, unsterblichen König,
Gott, das schimmernde Knie zur Erde, der nährenden beugen;
Und in des Feuers Gluth stürzt jeglich Gebilde der Hände.
Und es wird dann auch Gott grosse Freude den Menschen verleihen:
Denn auch das Land und die Bäume und grosse Heerden von Schafen
Werden alsdann ihre Frucht den Menschen, wie sichs gebühret,
Geben an Wein und Honig süss, an blendender Milch auch,
Und an Weizen, der ist für Menschen das Beste von Allem.
Aber Sterblicher du, o Verschmitzter, arglistigen Sinnes!
Zögere nicht, kehre um, der du irrst, und versöhne die Gottheit;
Bringe Gott dar Hekatomben von Stieren und erstgebornen
Lämmern und Ziegen in den im Kreis sich drehenden Zeiten.
Sühne ihn aus den unsterblichen Gott, dass er sich mög' erbarmen;
Denn er allein ist Gott und ausser ihm giebts keinen andern.
Und die Gerechtigkeit halte in Ehren und kränke Niemanden;
Denn dies befiehlt der unsterbliche Gott den elenden Menschen.
Aber gedenk zu vermeiden den Zorn des erhabenen Gottes,
Wann allen Sterblichen einst verderblicher Seuche Vollendung
Kommt, und bewältigend sie die schreckliche Strafe erreichet,

Καὶ βασιλεὺς βασιλῆα λάβῃ, χώραν τ᾽ ἀφέληται,
Ἔθνη δ᾽ ἔθνεα πορθήσῃ, καὶ φῦλα δυνάσται,
Ἡγεμόνες δὲ φύγωσιν ἐς ἄλλην γαῖαν ἅπαντες,
Ἀλλαχθῇ δέ τε γαῖα βροτῶν, καὶ βάρβαρος ἀρχὴ
Ἑλλάδα πορθήσῃ πᾶσαν, καὶ πίονα γαῖαν
Ἐξαρύσῃ πλούτοιο, καὶ ἀντίον εἰς ἔριν αὐτῶν
Ἔλθωσι χρυσοῦ τε καὶ ἀργύρου εἵνεκεν (ἔσται
Ἡ φιλοχρημοσύνη κακὰ ποιμαίνουσα πόλεσσι),
Χώρῃ ἐν ἀλλοτρίῃ· ἄταφοι δὲ ἅπαντες ἔσονται,
Καὶ τῶν μὲν γῦπές τε καὶ ἄγρια θηρία γαίης
Σαρκῶν δηλήσονται· ἐπ᾽ ἂν δὲ ταῦτα τελεσθῇ,
Λείψανα γαῖα πέλωρος ἀναλώσειε θανόντων.
Αὐτὴ δ᾽ ἄσπαρτος καὶ ἀνήροτος ἔσται ἅπασα,
Κηρύσσουσα τάλαινα μύσος μυρίων ἀνθρώπων,
Πολλὰ χρόνων μήκη περιτελλομένων ἐνιαυτῶν,
Πέλτας καὶ θυρεοὺς, γαισοὺς, παμποίκιλα ὅπλα·
Οὐδὲ μὲν ἐκ δρυμοῦ ξύλα κόψεται εἰς πυρὸς αὐγήν.
Καὶ τότ᾽ ἀπ᾽ ἠελίοιο Θεὸς πέμψει βασιλῆα,
Ὅς πᾶσαν γαῖαν παύσει πολέμοιο κακοῖο,
Οὓς μὲν ἄρα κτείνας, οἷς δ᾽ ὅρκια πιστὰ τελέσσας.
Οὐδέ γε ταῖς ἰδίαις βουλαῖς τάδε πάντα ποιήσει,
Ἀλλὰ Θεοῦ μεγάλοιο πιθήσας δόγμασιν ἐσθλοῖς.
Λαὸς δ᾽ αὖ μεγάλοιο Θεοῦ περικαλλέϊ πλούτῳ
Βεβριθὼς, χρυσῷ τε καὶ ἀργύρῳ, ἠδέ τε κόσμῳ
Πορφυρέῳ· καὶ γαῖα τελεσφόρος, ἠδὲ θάλασσα
Τῶν ἀγαθῶν πλήθουσα. Καὶ ἄρξονται βασιλῆες
Ἀλλήλοις κοτέειν, ἐταμύνοντες κακὰ θυμῷ.
Ὁ φθόνος οὐκ ἀγαθὸν πέλεται δειλοῖσι βροτοῖσιν.
Ἀλλὰ πάλιν βασιλῆες ἐθνῶν ἐπὶ τήνδε τε γαῖαν
Ἄθροοι ὁρμήσονται, ἑαυτοῖς κῆρα φέροντες·
Σηκὸν γὰρ μεγάλοιο Θεοῦ καὶ φῶτας ἀρίστους
Πορθεῖν βουλήσονται. Ὀπηνίκα γαῖαν ἵκωνται,
Θύσουσι κύκλῳ πόλεως μιαροὶ βασιλῆες,
Τὸν θρόνον αὐτοῦ ἕκαστος ἔχων καὶ λαὸν ἀπειθῆ.
Καί ῥα Θεὸς φωνῇ μεγάλῃ πρὸς πάντα λαλήσει
Λαὸν ἀπαίδευτον, κενεόφρονα, καὶ κρίσις αὐτοῖς
Ἔσσεται ἐκ μεγάλοιο Θεοῦ, καὶ πάντες ὀλοῦνται
Χειρὸς ἀπ᾽ ἀθανάτοιο. Ἀπ᾽ οὐρανόθεν δὲ πεσοῦνται
Ῥομφαῖαι πύρινοι κατὰ γαῖαν· λαμπάδες αὖ γε
Ἵξονται μεγάλαι, λάμπουσαι εἰς μέσον ἀνδρῶν.
Γαῖα δὲ παγγενέτειρα σαλεύσεται ἤμασι κείνοις

Und ein König den andern bezwingt und die Länder ihm wegnimmt;
Wenn ein Volk das andre vertilgt, und Herrscher die Stämme,
Und wenn die Fürsten entfliehn allesammt in andere Länder;
Wenn sich verändert der Sterblichen Land, und Herrschaft von Fremden
Hellas verwüstet zumal und der fruchtbaren Erde hinwegnimmt
Ihren Reichthum, und sie in Streit dann gegen einander
Werden gerathen um Gold und Silber (das Trachten
Nach dem Besitze das ists, was die Städte stürtzet ins Unglück),
In einem fremden Gebiet. Doch sie alle ohne Bestattung
Werden sie sein, und die Geier und wilden Thiere des Feldes
Werden verzehren ihr Fleisch. Und wann sich dieses erfüllt hat,
Wird der Leichname Rest die weite Erde einschlingen.
Sie aber wird unbesamt sein gänzlich, man wird sie nicht pflügen,
Und die arme verkündet unzähliger Menschen Verbrechen,
Vieler Zeiten Frist in den sich umschwingenden Jahren,
Schilde gross und klein, und Pfeile und mancherlei Waffen;
Und zum Glanze des Feuers fällt man nicht Holz in dem Walde.
Und vom Aufgange her wird Gott einen König dann senden,
Welcher den schrecklichen Krieg auf der sämmtlichen Erde beschwichtigt,
Welcher die Einen vertilgt, treu erfüllend die Eide den Andern.
Aber nach eigenem Rath wird er nicht das Alles vollbringen;
Sondern dem hohen Befehl des grossen Gottes gehorsam.
Aber das Volk des mächtigen Herrn mit herrlichem Reichthum
Wird es beschwert wiederum, mit Gold und Silber geschmücket;
Auch mit purpurnem Schmuck; die ergiebige Erde, das Meer selbst
Sind von Gütern gefüllt. Und Könige werden beginnen
Gegen einander den Zorn, und Böses hegen im Herzen.
Nicht will werden der Neid zum Guten den elenden Menschen.
Aber es stürmen nochmals geschaart die Herrscher der Völker
Ueber dasselbige Land, sich selber Verderben bereitend.
Denn des mächtigen Gottes Haus und die trefflichsten Männer
Wollen sie richten zu Grund. Sobald sie zum Lande gelangt sind,
Werden im Kreis um die Stadt dann opfern die schändlichen Herrscher.
Jeder hat seinen Thron und Jeder hat trotzige Volksschaar.
Und mit gewaltigem Ruf wird Gott dann reden zu allem
Ungebildeten Volk, dem eitelen, und ein Gericht kömmt
Ihnen vom grossen Gott, und alle gehen zu Grunde
Durch des Unsterblichen Hand. Und es werden vom Himmel hernieder
Fallen zur Erde feurige Schwerdter; es werden auch grosse
Fackeln erscheinen, die Licht in Mitte der Männer verbreiten.
Und es wird jenes Tags die Alles erzeugende Erde

Χειρὸς ἀπ᾽ ἀθανάτοιο, καὶ ἰχθύες οἱ κατὰ πόντον,
Πάντα δὲ θηρία γῆς, ἠδ᾽ ἄσπετα φῦλα πετεινῶν,
Πᾶσαι δ᾽ ἀνθρώπων ψυχαὶ, καὶ πᾶσα θάλασσα
Φρίξει ὑπ᾽ ἀθανάτοιο προσώπου, καὶ φόβος ἔσται.
Ἠλιβάτους κορυφάς τ᾽ ὀρέων βουνούς τε πελώρων
Ῥήξει, κυάνεόν τ᾽ ἔρεβος πάντεσσι φανεῖται.
Ἠέριαι δὲ φάραγγες ἐν οὔρεσιν ὑψηλοῖσιν
Ἔσσονται πλήρεις νεκύων· ῥεύσουσι δὲ πέτραι
Αἵματι, καὶ πεδίον πληρώσει πᾶσα χαράδρα.
Τείχεα δ᾽ εὐποίητα χαμαὶ πεσέονται ἅπαντα
Ἀνδρῶν δυσμενέων, ὅτι τὸν νόμον οὐκ ἔγνωσαν,
Οὐδὲ κρίσιν μεγάλοιο Θεοῦ, ἀλλ᾽ ἄφρονι θυμῷ
Πάντες ἐφορμηθέντες ἐφ᾽ ἱερὸν ἤρατε λόγχας.
Καὶ κρίνει πάντας πολέμῳ Θεὸς, ἠδὲ μαχαίρῃ,
Καὶ πυρὶ, καὶ ὑετῷ τε κατακλύζοντι· καὶ ἔσται
Θεῖον ἀπουρανόθεν, αὐτὰρ λίθος, ἠδὲ χάλαζα
Πολλὴ καὶ χαλεπή· θάνατος δ᾽ ἐπὶ τετράποδ᾽ ἔσται.
Καὶ τότε γνώσονται Θεὸν ἄμβροτον, ὃς τάδε κρίνει·
Οἰμωγή τε καὶ ἀλαλαγμὸς κατ᾽ ἀπείρονα γαῖαν
Ἴξεται, ὀλλυμένων ἀνδρῶν· καὶ πάντες ἄναυδοι
Αἵματι λούσονται· πίεται δέ τε γαῖα καὶ αὐτὴ
Αἵματος ὀλλυμένων, κορέσονται θηρία σαρκῶν.
Αὐτός μοι τάδε πάντα Θεὸς μέγας ἀέναός τε
Εἶπε προφητεῦσαι. Τάδε δ᾽ ἔσσεται οὐκ ἀτέλεστα,
Οὐδ᾽ ἀτελεύτητα, ὅτι κεν μόνον ἐν φρεσὶ θείῃ.
Ἄψευστον γὰρ πνεῦμα Θεοῦ πέλεται κατὰ κόσμον.
Υἱοὶ δ᾽ αὖ μεγάλοιο Θεοῦ περὶ ναὸν ἅπαντες
Ἡσυχίως ζήσονται, εὐφραινόμενοι ἐπὶ τούτοις
Οἷς δώσει κτίστης, ὁ δικαιοκρίτης τε μόναρχος.
Αὐτὸς γὰρ σκεπάσειε μόνος, μεγάλως τε παραστὰς,
Κύκλοθεν ὡσεὶ τεῖχος ἔχων πυρὸς αἰθομένοιο.
Ἀπτόλεμοι δ᾽ ἔσσονται ἐν ἄστεσιν, ἠδ᾽ ἐνὶ χώραις.
Οὐ χεὶρ γὰρ πολέμοιο κακοῦ, μάλα δ᾽ ἔσσεται αὐτοῖς
Αὐτὸς ὑπέρμαχος ἀθάνατος, καὶ χεὶρ ἁγίοιο.
Καὶ τότε δὴ νῆσοι πᾶσαι πόλεές τ᾽ ἐρέουσιν,
Ὁππόσον ἀθάνατος φιλέει τοὺς ἄνδρας ἐκείνους·
Πάντα γὰρ αὐτοῖσιν συναγωνιᾷ, ἠδὲ βοηθεῖ,
Οὐρανὸς, ἠέλιός τε θεήλατος, ἠδὲ σελήνη.
Γαῖα δὲ παγγενέτειρα σαλεύσεται ἤμασι κείνοις.
Ἠδὺν ἀπὸ στομάτων λόγον ἄξουσι δ᾽ ἐνὶ ὕμνοις·
Λεῦτε, πεσόντες ἅπαντες ἐπὶ χθονὶ, λισσώμεσθα

Von des Unsterblichen Hand bewegt, und die Fische im Meere,
Und alle Thiere des Felds und die zahllosen Arten der Vögel,
Alle Seelen der Menschen zumal, und die sämmtliche Meerfluth
Werden erbeben vor ihm dem Unsterblichen, allwärts die Furcht herrscht.
Und die Höh'n und die steilen Scheitel der mächtigen Berge
Bricht er, und Erebus wird, der dunkele, Allen erscheinen.
Und das dunkle Geklüft auf der Berge Höhen, von Leichen
Wird angefüllet es sein; es werden vom Blute die Felsen
Triefen und ein Bergstrom wird ganz die Ebne erfüllen.
Und das starke Gemäu'r allsammt der feindlichen Männer
Stürtzt zur Erde dahin, weil sie das Gesetz nicht erkannten,
Nicht das Gericht des grossen Gottes; vielmehr mit unklugem
Sinn einstürmend zumal zum Tempel die Speere erhoben.
Und Gott wird durch Krieg Alle richten, durch Schwert und durch Feuer,
Und durch Regen, der sie überschwemmt; und es wird von dem Himmel
Schwefel fallen herab und Gestein und vieler und schwerer
Hagelschlag; und der Tod trifft auch die vierfüssigen Thiere.
Dann werden sie den unsterblichen Gott, der so richtet, erkennen;
Und ein Geheul und Schrei'n auf der weiten Erde wird dann sein,
Wann die Männer zu Grund gehn. Sprachlos werden sie Alle
Sich dann baden im Blut. Das Blut der Erschlagenen selber
Schlürfet die Erde hinein, und das Wild wird satt von dem Fleische.
Alles dieses befahl der grosse und ewige Gott selbst
Mir zu verkünden; darum wird nicht unerfüllet es bleiben,
Noch ohn' Erfolg, so wie in den Sinn von ihm es gelegt ist:
Denn ohne Trug wird der göttliche Geist in der Welt stets befunden.
Aber es werden jedoch um den Tempel des mächtigen Gottes
All seine Kinder in Ruh dann leben, erfreuet darüber,
Was der Schöpfer verleiht, der gerechte Richter und Herrscher.
Denn er selber beschützt sie allein mit mächtigem Beistand,
Wie eine Mauer ringsum, von brennendem Feuer umgeben.
Und ohne Krieg werden sie in den Städten sein und auf dem Lande;
Nicht in der Hand des entsetzlichen Kriegs, ihnen ist vielmehr Beistand
Er der Unsterbliche und die Hand des Heiligen selber.
Und es werden alsdann die Inseln und alle die Städte
Sagen, wie sehr der unsterbliche Gott lieb hat jene Männer;
Denn Alles ist fürsorgend um sie und bringt ihnen Hilfe:
Himmel und Sonne geführet von Gott, selbst der Mond ist ein Beistand.
Aber die Erde, die Mutter des All, bebt in jenen Tagen,
Und in Gesängen dann fliesst vom Munde die liebliche Rede:
Auf und fallt allesammt auf die Erde und lasset uns anflehn

Ἀθάνατον βασιλῆα, Θεὸν μέγαν ὕψιστόν τε.
Πέμπτωμεν πρὸς ναὸν, ἐπεὶ μόνος ἐστὶ δυνάστης·
Καὶ νόμον ὑψίστοιο Θεοῦ φραζώμεθα πάντες,
Ὅστε δικαιότατος πέλεται πάντων κατὰ γαῖαν.
Ἡμεῖς δ' ἀθανάτοιο τρίβου πεπλανημένοι ἦμεν,
Ἔργα τε χειροποίητα σεβαζόμεθ' ἄφρονι θυμῷ
Εἰδώλων ξοάνων τε καταφθιμένων ἀνθρώπων.
Ταῦτα βοήσουσι ψυχαὶ πιστῶν ἀνθρώπων·
Λεῦτε, Θεοῦ κατὰ δῆμον ἐπὶ στομάτεσσι πεσόντες,
Ὕμνοισι τέρψωμεν Θεὸν γενετῆρα κατ' οἴκους,
Ἐχθρῶν ὅπλα πορίζόμενοι κατὰ γαῖαν ἅπασαν
Ἑπτὰ χρόνων μήκη περιτελλομένων ἐνιαυτῶν,
Πέλτας, καὶ θυρεοὺς, κόρυθας, παμποίκιλά θ' ὅπλα,
Πολλὰ δὲ καὶ τόξων πλήθη, βελέων ἀδίκων τε·
Οὐδὲ γὰρ ἐκ δρυμοῦ ξύλα κόψεται εἰς πυρὸς αὐγήν.
Ἀλλὰ, τάλαιν' Ἑλλὰς, ὑπερήφανα παῦε φρονοῦσα·
Λίσσεο δ' ἀθάνατον μεγαλήτορα, καὶ προφύλαξαι.
Στεῖλον δὴ ἐπὶ τήνδε πόλιν τὸν λαὸν ἄβουλον,
Ὅστε μιν ἐξ ὁσίης γαίης πέλεται μεγάλοιο.
Μὴ κίνει Καμάριναν· ἀκίνητος γὰρ ἀμείνων·
Πάρδαλιν ἐκ κοίτης, μήτοι κακὸν ἀντιβολήσῃς.
Ἀλλ' ἀπέχου, μήδ' ἴσχ' ὑπερήφανον ἐν στήθεσσι
Θυμὸν ὑπερφίαλον, στείλας πρὸς ἀγῶνα κραταιόν.
Καὶ δούλευε Θεῷ μεγάλῳ, ἵνα τῶνδε μετάσχῃς,
Ὁππότε [δὴ] καὶ τοῦτο λάβῃ τέλος, αἴσιμον ἦμαρ
Ἥξει ἐπ' ἀνθρώπους ἀγαθοὺς μεγάλοιο κατ' ἀρχήν.
Γῆ γὰρ παγγενέτειρα βροτοῖς δώσει τὸν ἄριστον
Καρπὸν ἀπειρέσιον σίτου, οἴνου, καὶ ἐλαίου.
Αὐτὰρ ἀπ' οὐρανόθεν μέλιτος γλυκεροῦ ποτὸν ἡδὺ,
Δένδρεά τ', ἀκροδρύων καρπὸν, καὶ πίονα μῆλα,
Καὶ βόας, ἔκ τ' ἀρνῶν ἄρνας, αἰγῶν τε χιμάρους·
Πηγάς τε ῥήξει γλυκερὰς λευκοῖο γάλακτος·
Πλήρεις δ' αὖτε πόλεις ἀγαθῶν καὶ πίονες ἀγροὶ
Ἔσσονται· οὐδὲ μάχαιρα κατὰ χθονὸς, οὐδὲ κυδοιμός·
Οὐδὲ βαρυστενάχουσα σαλεύσεται οὐκέτι γαῖα·
Οὐ πόλεμός τ', οὐδ' αὖ γε κατὰ χθονὸς αὐχμὸς ἔτ' ἔσται,
Οὐ λιμὸς, καρπῶν τε κακορρέκτειρα χάλαζα·
Ἀλλὰ μὲν εἰρήνη μεγάλη κατὰ γαῖαν ἅπασαν,
Καὶ βασιλεὺς βασιλῆϊ φίλος μέχρι τέρματος ἔσται
Αἰῶνος, κοινόν τε νόμον κατὰ γαῖαν ἅπασαν
Ἀνθρώποις τελέσειεν ἐν οὐρανῷ ἀστερόεντι

Den unsterblichen König, Gott, den Grossen und Höchsten.
Lasset zum Tempel uns senden; denn er allein ist der Herrscher;
Lasset uns All das Gesetz des höchsten Gottes erwägen;
Denn das gerechteste ist's von Allem hienieden auf Erden.
Wir aber hatten vom Weg des Unsterblichen irrig entfernt uns,
Ehrten der Hände Gebilde, erfüllt von thörichtem Sinne,
Bilder der Götzen geschnitzt und der Menschen, dem Tode verfallen.
Solches rufen sie aus, die Seelen von gläubigen Menschen:
Auf lasst unter dem Volk des Herrn uns fallen aufs Antlitz;
Lasst durch Hymnen erfreun überall Gott unsern Erzeuger;
Waffen der Feinde erwerbend auf der sämmtlichen Erde
Sieben Längen der Zeiten herum sich wälzender Jahre;
Schilde gross und klein und Helme, verschiedene Waffen,
Eine ansehnliche Zahl von Bogen und schädlichen Pfeilen.
Auch haut man aus dem Walde nicht Holz zum Glanze des Feuers.
Elendes Hellas, so höre doch auf, dich stolz zu erheben:
Zu dem Unsterblichen fleh, dem Hochherzigen, und nimm in Acht dich.
Sende zur selbigen Stadt das Volk, unkundig des Rathes,
Das aus dem heiligen Land des grossen Gottes abstammet.
Rühr Kamarina nicht auf; denn besser ist sie unbeweget;
Nicht von dem Lager den Panther, damit dir nichts Böses begegne:
Sondern halte dich fern und nicht heg' in dem Gemüthe
Hochauffahrenden Sinn und bereit zum gewaltigen Kampfe.
Diene dem mächtigen Gott, auf dass dir einstens ein Theil wird,
Wenn auch dies sein Ende erreicht, und der Tag der Bestimmung
Kömmt zu den Menschen heran, den Guten nach Gottes Befehle.
Denn den Sterblichen wird in Menge die nährende Erde
Geben die trefflichste Frucht an Weizen, an Wein und Oliven.
Auch das süsse Getränk des lieblichen Honigs vom Himmel,
Bäume und Früchte vom Baum, und auch gemästete Schafe;
Ochsen und Lämmer von Schafen und auch von Ziegen die Böcke.
Quellen fliessen sie lässt von Milch, der weissen und süssen.
Auch werden sich wiederum mit Gütern die Städte anfüllen;
Und der Boden ist fett, weder Krieg ist auf Erden noch Schlachtlärm.
Auch wird nicht mehr tief aufstöhnend die Erde erschüttert.
Nicht wird Krieg mehr sein, nicht Trockenheit fürder auf Erden;
Nicht mehr Hunger und nicht der Früchte zerstörende Hagel:
Sondern ein grosser Friede herrscht auf der sämmtlichen Erde,
Und bis ans Ende der Zeit wird Freund sein ein König dem andern;
Und nach Einem Gesetz wird die Menschen auf sämmtlicher Erde
Der unsterbliche Gott im gestirnten Himmel regieren;

Ἀθάνατος, ὅσα πέπρακται δειλοῖσι βροτοῖσιν·
Αὐτὸς γὰρ μόνος ἐστὶ Θεὸς, κοὐκ ἔστιν ἔτ' ἄλλος·
Αὐτὸς καὶ πυρὶ φλέξειεν χαλεπὸν μένος ἀνδρῶν.
Ἀλλὰ κατασπεύσαντες ἐμὰς φρένας ἐν στήθεσσι,
Φεύγετε λατρείας ἀδίκους· Θεῷ ζῶντι λάτρευε·
Μοιχείαν πεφύλαξο, καὶ ἄκριτον ἄρσενος εὐνήν·
Τὴν δ' ἰδίαν γένναν παίδων τρέφε, μηδὲ φονεύσῃς·
Τοῖσδε γὰρ ἀθάνατος κεχολώσεται, ὅς κεν ἁμάρτῃ.
Καὶ τότε δ' ἐξεγερεῖ βασιλήϊον εἰς αἰῶνας
Πάντας ἐπ' ἀνθρώπους, ἅγιον νόμον ὁππότ' ἔδωκεν
Εὐσεβέσι, τοῖς πᾶσιν ὑπέσχετο γαῖαν ἀνοίξειν,
Καὶ κόσμον, μακάρων τε πύλας, καὶ χάρματα πάντα,
Καὶ νοῦν ἀθάνατον, αἰώνιον εὐφροσύνην τε.
Πάσης δ' ἐκ γαίης λίβανον καὶ δῶρα πρὸς οἴκους
Οἴσουσι μεγάλοιο Θεοῦ· κοὐκ ἔσσεται ἄλλος
Οἶκος ἐπ' ἀνθρώποισι καὶ ἐσσομένοισι πυθέσθαι,
Ἀλλ' ὃν ἔδωκε Θεὸς πιστοῖς ἀνδρεσσι γεραίρειν·
Υἱὸν γὰρ καλέουσι βροτοὶ μεγάλοιο Θεοῖο.
Καὶ πᾶσαι πεδίοιο τρίβοι, καὶ τρηχέες ὄχθαι,
Οὔρεά θ' ὑψήεντα, καὶ ἄγρια κύματα πόντου,
Εὔβατα καὶ εὔπλωτά γε ἔσσεται ἡμασι κείνοις·
Πᾶσα γὰρ εἰρήνη ἀγαθῶν ἐπὶ γαῖαν ἱκνεῖται·
Ῥομφαίαν τ' ἀφελοῦσι Θεοῦ μεγάλοιο προφῆται·
Αὐτοὶ γὰρ κριταί τε βροτῶν, βασιλεῖς τε δίκαιοι.
Ἔσται δὴ καὶ πλοῦτος ἐν ἀνθρώποισι δίκαιος·
Αὕτη γὰρ μεγάλοιο Θεοῦ κρίσις, ἠδὲ καὶ ἀρχή.
Εὐφράνθητι, κόρη, καὶ ἀγάλλεο· σοὶ γὰρ ἔδωκεν
Εὐφροσύνην αἰῶνος, ὃς οὐρανὸν ἔκτισε καὶ γῆν.
Ἐν σοὶ δ' οἰκήσει· σοὶ δ' ἔσσεται ἀθάνατον φῶς.
Ἐν δὲ λύκοι τε καὶ ἄρνες ἐν οὔρεσιν ἄμμιγ' ἔδονται
Χόρτον, παρδάλιές τ' ἐρίφοις ἅμα βοσκήσονται·
Ἄρκτοι σὺν μόσχοις νομάδες αὐλισθήσονται·
Σαρκοβόρος τε λέων ἄχυρον φάγεται ἐπὶ φάτνης,
Ὡς βοῦς· καὶ παῖδες μάλα νήπιοι ἐν δεσμοῖσιν
Ἄξουσι· πηρὸν γὰρ ἐπὶ χθονὶ θῆρα ποιήσει.
Καὶ βρεφέεσσι δράκοντες ἅμα σφίσι κοιμήσονται,
Κοὐκ ἀδικήσουσι· χεὶρ γὰρ Θεοῦ ἔσσετ' ἐπ' αὐτούς.
Σῆμα δέ σοι ἐρέω μάλ' ἀριφραδὲς, ὥστε νοῆσαι,
Ἡνίκα δὴ πάντων τὸ τέλος γαίηφι γένηται.
Ὁππότε κεν ῥομφαῖαι ἐν οὐρανῷ ἀστερόεντι
Ἐννύχιαι ὀφθῶσι πρὸς ἑσπέραν ἠδὲ πρὸς ἠῶ,

Ein Gesetz für was immer gethan die elenden Menschen:
Denn er selbst ist ein einiger Gott, es giebt keinen andern;
Und mit Feuer wird er die schrecklichen Männer verbrennen.
Aber nun eilt meine Lehren aufzubewahren im Herzen:
Fliehet den gottlosen Dienst der Götzen, dem Lebenden diene.
Hüte vor Ehebruch dich und dem unreinen Lager des Mannes;
Und das eigne Geschlecht der Kinder zieh auf, nicht ermord' es:
Denn der Unsterbliche wird ihnen zürnen, wenn einer sündigt.
Auch wird er dann ein Reich für ewige Zeiten errichten
Unter den Menschen zumal, wann heilige Satzung den Frommen
Er verliehn, denen er insgesammt zu eröffnen versprochen
Erde und Welt und der Seligen Thore und sämmtliche Freuden,
Und den Verstand, den unsterblichen, auch, und den ewigen Frohsinn.
Und von der sämmtlichen Erde wird man Geschenke und Rauchwerk
Tragen zum Hause des mächtigen Gottes. Es wird auch kein andres
Haus zu erfragen mehr sein bei den Menschen, die leben in Zukunft,
Ausser was Gott zu ehren verliehn den gläubigen Männern.
Denn bei den Sterblichen heisst er der Sohn des mächtigen Gottes.
Und alle Pfade des Felds und alle unebene Hügel,
Und das hohe Gebirg und die brandenden Wogen des Meeres
Wohl zu begehn und wohl zu befahren sind jenes Tags sie;
Denn aller Friede wird dann zu den Guten kommen auf Erden.
Und die Propheten des mächtigen Gottes nehmen das Schwerdt weg;
Denn gerechte Könige sind sie und Richter der Menschen.
Auch wird sein bei den Menschen ein rechtlich erworbener Reichthum:
Denn das ist das Gericht des grossen Gottes und Herrschaft.
Freue dich, Mägdlein, und hüpfe; denn er hat auf ewige Zeiten
Frohen Sinn dir verliehn, der Himmel und Erde gegründet.
Und er wird wohnen in dir und dir ein unsterbliches Licht sein.
Und der Wolf und das Lamm werden auf den Bergen selbander
Weiden, und Gras mit den Böckchen zugleich die Parder verzehren.
Bären zusammengepfercht mit Kälbern sind auf der Weide,
Und der fleischfressende Leu wird Spreu an der Krippe zerkauen,
Gleich einem Stier; und ganz unmündige Kinder an Fesseln
Führen sie ihn; denn zahm wird das Thier auf Erden er machen.
Und es werden vereint die Drachen mit Säuglingen liegen,
Und nicht beschädigen sie; denn Gottes Hand wird sie schützen.
Dir aber will ich ein leicht zu erkennendes Zeichen verkünden,
Dass du es merkst, wann dereinst auf Erden das Ende von Allem
Sein wird; Wenn man dereinst an dem sternhellen Himmel zur Nachtzeit
Schwerdter gen Abend erblickt, und auch gegen Morgen, und wenn dann

Αὐτίκα καὶ κονιορτὸς ἀπ᾽ οὐρανόθεν προφέρηται
Πρὸς γαῖαν ἅπασαν, καί οἱ σέλας ἠελίοιο
Ἐκλείψει κατὰ μέσσον ἀπ᾽ οὐρανοῦ, ἠδὲ σελήνης
Ἀκτῖνες προφανοῦσι, καὶ ἅψ ἐπὶ γαῖαν ἵκονται·
Αἵματι καὶ σταγόνεσσι πετρῶν δ᾽ ἀπὸ σῆμα γένηται·
Ἐν νεφέλῃ δ᾽ ὄψεσθε μάχην πεζῶν τε καὶ ἱππέων,
Οἷα κυνηγεσίην θηρῶν, ὁμίχλῃσιν ὁμοίην.
Τοῦτο τέλος πολέμοιο τελεῖ Θεὸς οὐρανὸν οἰκῶν.
Ἀλλὰ χρὴ πάντας θύειν μεγάλῳ βασιλῆϊ.
Ταῦτά σοι, Ἀσσυρίης Βαβυλώνια τείχεα μακρὰ
Οἰστρομανὴς προλιποῦσα, ἐς Ἑλλάδα πεμπόμενον πῦρ
Πᾶσι προφητεύουσα, Θεοῦ μηνίματα, θνητοῖς,
Ὥστε προφητεῦσαί με βροτοῖς αἰνίγματα θεῖα.
Καὶ καλέουσι βροτοί με καθ᾽ Ἑλλάδα πατρίδος ἄλλης,
Ἐξ Ἐρύθρης γεγονυῖαν, ἀναιδέα· οἱ δέ με Κίρκης
Μητρὸς καὶ Γνωστοῖο πατρὸς φήσουσι Σίβυλλαν,
Μαινομένην, ψεύστειραν· ἐπὴν δὲ γένηται ἅπαντα,
Τηνίκα μου μνήμην ποιήσετε, κοὐκέτι μ᾽ οὐδεὶς
Μαινομένην φήσειε, Θεοῦ μεγάλην δὲ προφῆτιν.
Ὅς γὰρ ἐμοὶ δήλωσεν, ἃ πρὶν γενετῆρσιν ἐμοῖσιν,
Ὅσσα τε πρῶτ᾽ ἐγένοντο, τά μοι Θεὸς ἐγκατέλεξε·
Τῶν μετέπειτα δὲ πάντα Θεὸς νόῳ ἐγκατέθηκεν,
Ὥστε προφητεύειν με τά τ᾽ ἐσσόμενα, πρό τ᾽ ἐόντα,
Καὶ λέξαι θνητοῖς. Ὅτε γὰρ κατεκλύζετο κόσμος
Ὕδασι, καί τις ἀνὴρ μόνος εὐδοκίμητος ἐλείφθη,
Ὑλοτόμῳ ἐνὶ οἴκῳ ἐπιπλώσας ὑδάτεσσι
Σὺν θηρσὶ πτηνοῖσί θ᾽, ἵν᾽ ἐμπλησθῇ πάλι κόσμος·
Τοῦ μὲν ἐγὼ νύμφη καὶ ἀφ᾽ αἵματος αὐτοῦ ἐτύχθην,
Τῷ τὰ πρῶτ᾽ ἐγένοντο, τὰ δ᾽ ἔσχατα πάντ᾽ ἀπεδείχθη·
Ὥστ᾽ ἀπ᾽ ἐμοῦ στόματος τάδ᾽ ἀληθινὰ πάντα λελέχθω.

Plötzlich ein Staub vom Himmel herab auf die sämmtliche Erde
Sinket und wann der Glanz von der Sonne mitten im Laufe
An dem Himmel erlischt, und des Mondes leuchtende Strahlen
Sichtbar werden, und wieder hin zu der Erde gelangen;
Und mit träufelndem Blut von Felsen ein Zeichen geschehn wird.
Aber in dem Gewölk werdet ihr von Fussvolk und Reitern
Sehn eine Schlacht, wie Wild man jagt, wie Nebelgebilde.
Solch ein Ende des Kriegs macht Gott, der den Himmel bewohnet.
Aber ein Jeglicher muss dem grossen Könige opfern.
Dieses sage ich dir, die ich thöricht verlassen in Assur
Babels gedehnete Stadt, ein Feuer nach Hellas gesendet,
Und den göttlichen Zorn weissagend den Sterblichen allen;
Da den Sterblichen ich die göttlichen Räthsel geweissagt.
Und Ausländerinn nennen sie mich, die Leute in Hellas,
Aus Erythräa mich, die schändliche. Einige werden
Von Circe und Gnostos erzeugt Sibylle mich nennen,
Rasende, Lügnerinn auch: Doch wenn dies Alles geschehn wird,
Dann werdet ihr wohl mein noch gedenken und Niemand wird dann mich
Nennen die Rasende mehr, sondern Gottes grosse Prophetinn.
Denn wer mir offenbart, was ehdem geschah meinen Eltern,
Und was zu Anfang geschah, das hat Gott mir eingegeben.
Das Zukünftige aber legt' Alles Gott in den Sinn mir;
So dass die Zukunft ich offenbar', und was früher gewesen,
Und es den Sterblichen sage. Denn als die Welt überschwemmt war
Von dem Gewässer und Ein Mann allein, ein Bewährter nur übrig
In dem gezimmerten Haus und über die Wasser daherfuhr
Mit den Thieren und Vögeln, damit wiederum sich die Erde
Fülle, da war ich die Braut desselben und seines Geblütes,
Dem das Erste geschah und alles das Letzte gezeigt ward.
Drum muss aus meinem Mund das Alles als Wahrheit gesagt sein.

ΤΩΝ ΣΙΒΥΛΛΙΑΚΩΝ

ΧΡΗΣΜΩΝ

ΛΟΓΟΣ ΤΕΤΑΡΤΟΣ.

Κλῦτε, λεὼς Ἀσίης μεγαλαύχεος, Εὐρώπης τε,
Ὅσσα πολυφθόγγοιο διὰ στόματος μεγάλοιο
Μέλλω ἀφ' ἡμετέρου παναληθέα μαντεύεσθαι·
Οὐ ψευδοῦς Φοίβου χρησμηγόρος, ὄντε μάταιοι
Ἄνθρωποι θεὸν εἶπον, ἐπεψεύσαντο δὲ μάντιν·
Ἀλλὰ Θεοῦ μεγάλοιο, τὸν οὐ χέρες ἔπλασαν ἀνδρῶν,
Εἰδώλοις ἀλάλοισι λιθοξέστοισιν ὅμοιον.
Οὔτε γὰρ οἶκον ἔχει ναῷ λίθον ἱδρυθέντα,
Κωφότατον, νωδόν τε, βροτῶν πολυαλγέα λώβην·
Ἀλλ' ὃν ἰδεῖν οὐκ ἔστιν ἀπὸ χθονὸς, οὐδὲ μετρῆσαι,
Ὄμμασιν ἐν θνητοῖς, οὐ πλασθέντα χειρὶ θνητῇ·
Ὅς, καθορῶν ἅμα πάντας, ὑπ' οὐδενὸς αὐτὸς ὁρᾶται·
Οὗ νυξ τε δνοφερή τε, καὶ ἡμέρη, ἠέλιός τε,
Ἄστρα, σεληναίη τε, καὶ ἰχθυόεσσα θάλασσα,
Καὶ γῆ, καὶ ποταμοί τε, καὶ ἀεννάων στόμα πηγῶν,
Κτίσματα πρὸς ζωὴν, ὄμβροι θ' ἅμα καρπὸν ἀρούρης
Κτίζοντες, καὶ δένδρα, καὶ ἄμπελον, ἀτὰρ ἐλαίην.
Οὗτός μοι μάστιγα διὰ φρενὸς ἧλασεν εἴσω,
Ἀνθρώποις ὅσα νῦν τε καὶ ὀπτόσα γίνεται αὖθις,
Ἐκ πρώτης γενεῆς ἄχρις ἑνδεκάτης ἀφικέσθαι,
Ἀτρεκέως καταλέξαι· ἅπαντα γὰρ αὐτὸς ἔλεξεν
Ἐξανύων. Σὺ δὲ πάντα, λεὼς, ἐπάκουε Σιβύλλης
Ἐξ ὁσίου στόματος, φωνὴν προχέοντος ἀληθῆ.
Ὄλβιοι ἀνθρώπων κεῖνοι κατὰ γαῖαν ἔσονται,
Ὅσσοι δὴ στέρξουσι Θεὸν μέγαν, εὐλογέοντες
Πρὶν πιέειν φαγέειν τε, πεποιθότες εὐσεβίησιν·

SIBYLLINISCHE WEISSAGUNGEN.

VIERTES BUCH.

Höre du, Volk des ruhmreichen Asiens und von Europa,
Was ich werde mit starker und laut ertönender Stimme
Weissagen aus mir selbst, und ganz die lautere Wahrheit.
Nicht des betrüglichen Phöbus Wahrsagerinn, welchen aus Thorheit
Gott die Menschen genannt, und auch den Propheten belogen:
Sondern des mächtigen Gottes, den Hände der Menschen nicht machten,
Aehnlich den stummen von Steinen gefertigten Bildern der Götzen.
Denn nicht bewohnt er als Haus einen geweiheten Stein in dem Tempel,
Welcher stumm und taub ist, und schmerzliche Schmach für die Menschen:
Sondern welchen man nicht als Irdischer sehn kann noch messen
Mit den sterblichen Augen; den menschliche Hand nicht gebildet;
Der aber Alles zugleich erblickt und von Keinem gesehn wird;
Welchem die dunkele Nacht angehört und der Tag und die Sonne,
Und die Sterne, der Mond, und das Meer, das wimmelt von Fischen;
Auch die Erd' und die Flüsse, der Mund der ewigen Quellen,
Schöpfungen für das Leben, und Regen zugleich; der die Früchte
In dem Felde erzeugt, auch die Bäume, die Reben, den Oelbaum.
Dieser hat mitten hinein in den Sinn einen Zwang mir getrieben,
Das was den Menschen geschieht für jetzt und was fürder geschehn wird,
Von dem ersten Geschlecht bis man zum eilften gelanget
Zu verkünden genau; denn er hat Alles geredet,
Der es vollbringt. Doch du, o Volk, hör' auf die Sibylle,
Welche aus heiligem Mund dir wahrhafte Rede verkündet.
Glücklich werden diejenigen Menschen sein auf der Erde,
Welche den grossen Gott lieb haben und welche ihn preisen
Ehe sie trinken und essen, auf Frömmigkeit fest sich verlassend;

Οἳ νηοὺς μὲν ἅπαντας ἀπαρνήσονται ἰδόντες,
Καὶ βωμοὺς, εἰκαῖα λίθων ἀφιδρύματα κωφῶν,
Αἵμασιν ἐμψύχων μεμιασμένα καὶ θυσίαισι
Τετραπόδων· βλέψουσι δ᾽ ἑνὸς Θεοῦ εἰς μέγα κῦδος,
Οὔτε φόνον ῥέξαντες ἀτάσθαλον, οὔτε κλοπαῖον
Κέρδος ἄπειρον ἑλόντες, ἃ δὴ ῥίγιστα τέτυκται,
Οὐδ᾽ ἄρ᾽ ἐπ᾽ ἀλλοτρίης κοίτης πόθον αἰσχρὸν ἔχοντες,
Οὔτ᾽ ἐπὶ ἄρσενος ὕβριν ἀπεχθέα τε στυγερήν τε.
Ὧν τρόπον, εὐσεβίην τε, καὶ ἤθεα ἀνέρες ἄλλοι
Οὔ ποτε μιμήσονται, ἀναιδείην ποθέοντες·
Ἀλλ᾽ αὐτοὺς χλεύῃ τε γέλωτί τε μυχθίζοντες,
Νήπιοι ἀφροσύνῃσιν, ἐπιψεύσονται ἐκείνοις,
Ὅσσ᾽ αὐτοὶ ῥέξουσιν, ἀτάσθαλα καὶ κακὰ ἔργα.
Δύσπιστον γὰρ ἅπαν μερόπων γένος. Ἀλλ᾽ ὅταν ἤδη
Κόσμου καὶ θνητῶν ἔλθῃ κρίσις, ἣν Θεὸς αὐτὸς
Ποιήσει, κρίνων ἀσεβεῖς ἅμα τ᾽ εὐσεβέας τε·
Καὶ τοὺς δυσσεβέας μὲν ὑπὸ ζόφον ἔμπαλι πέμψει,
Καὶ τότ᾽ ἐπιγνώσονται, ὅσην ἀσέβειαν ἔρεξαν·
Εὐσεβέες δὲ μενοῦσιν ἐπὶ ζείδωρον ἄρουραν,
Πνεῦμα Θεοῦ δόντος, ζωὴν θ᾽ ἅμα καὶ βίον αὐτοῖς.
Ἀλλὰ τὰ μὲν δεκάτῃ γενεῇ μάλα πάντα τελεῖται·
Νῦν δ᾽ ὅσ᾽ ἀπὸ πρώτης γενεῆς ἔσεται, τάδε λέξω.
Πρῶτα μὲν Ἀσσύριοι θνητῶν ἄρξουσιν ἁπάντων,
Ἐξ γενεὰς κόσμοιο διακρατέοντες ἐν ἀρχῇ,
Ἐξ οὗ, μηνίσαντος ἐπουρανίοιο Θεοῖο,
Αὐταῖς σὺν πόλεσί τε καὶ ἀνθρώποισιν ἅπασιν
Γῆν ἐκάλυψε θάλασσα, κατακλυσμοῖο ῥαγέντος.
Οὓς Μῆδοι καθελόντες ἐπαυχήσουσι θρόνοισιν,
Οἷς γενεαὶ δύο μοῦναι· ἐφ᾽ ᾧ τάδε ἔσσεται ἔργα·
Νὺξ ἔσται σκοτόεσσα μέσῃ ἐνὶ ἤματος ὥρῃ·
Ἄστρα δ᾽ ἀπ᾽ οὐρανόθεν λείψει, καὶ κύκλα σελήνης·
Γῆ δὲ, κλόνῳ σεισμοῖο τινασσομένη μεγάλοιο,
Πολλὰς πρηνίξει πόλιας, καὶ ἔργ᾽ ἀνθρώπων·
Ἐκ δὲ βυθοῦ τότε νῆσοι ὑπερκύψουσι θαλάσσης.
Ἀλλ᾽ ὅταν Εὐφράτης μέγας αἵματι πλημμύρηται,
Καὶ τότε δὴ Μήδοις Πέρσαισί τε φύλοπις αἰνὴ
Στήσεται ἐν πολέμῳ· Περσῶν δ᾽ ὑπὸ δούρασι Μῆδοι
Πίπτοντες, φεύξονται ὑπὲρ μέγα Τίγριος ὕδωρ.
Περσῶν δὴ κράτος ἔσται ὅλου κόσμοιο μέγιστον,
Οἷς γενεὴ μία κεῖται ἀνακτορίης πολυόλβου.
Ἔσται δ᾽ ὅσσα κεν ἄνδρες ἀπεύχονται κακὰ ἔργα,

Welche die Tempel verläugnen alle, welche sie sehen,
Auch die Altäre, der stummen Steine sinnlose Gebilde,
Die mit dem Blut von Lebendem besprützt sind und Opfern der Thiere.
Und sie werden den Ruhm des grossen und einzigen Gottes
Schauen, wenn sie nicht frevlen Mord verübt, nicht durch Diebstahl
Grossen Gewinn sich verschafft, was ein gar schlimmes Beginnen,
Noch eine schändliche Lust gehegt zum Bette des Andern,
Noch gegen männlich Geschlecht ein böses und schrecklich Gelüste.
Deren Charakter und Frömmigkeit und deren Sitten die andern
Männer nicht nachahmen je, dieweil sie nach Schamlosem trachten;
Sondern zum Spott gegen sie und lachend die Lippen verzerren,
Kinder an Unverstand, die Trugvolles ihnen andichten,
Was sie selber verüben für böse und schreckliche Werke.
Denn das ganze Geschlecht der Menschen ist mistrauisch. Doch wann
Kömmt das Gericht für die Welt und die Menschen, welches Gott selber
Halten einst wird, zu richten zugleich die Bösen und Guten;
Dann wird er auch wiederum in die Finsterniss werfen die Frevler,
Und sie werden erkennen alsdann, was sie Böses verübet.
Aber es werden die Frommen verbleiben im fruchtbaren Lande;
Gott verleiht ihnen Geist und Leben zugleich und die Nahrung.
Aber im zehnten Geschlecht wird dies sich Alles erfüllen:
Jetzt aber will, was vom ersten Geschlecht an geschieht, ich verkünden:
Ueber die Menschen zusammt werden erst die Assyrier herrschen,
Sechs Geschlechter der Welt werden sie die Herrschaft behaupten,
Bis wann einstens der Zorn des himmlischen Gottes entbrannt ist,
Mit den Städten zumal und mit den sämmtlichen Menschen
Meer die Erde bedeckt und das fluthende Wasser hereinbricht.
Von den Medern gestürzt werden diese der Throne sich rühmen,
Doch nur zwei der Geschlechter, worin sich Dieses ereignet:
Dunkle Nacht wird sein inmitten der Stunden des Tages;
Sterne am Himmel vergehn, und auch die Kreise des Mondes;
Aber die Erde gepackt von Erschüttrung und heftigem Beben
Wird viel Städte in Schutt begraben und Werke der Menschen.
Aber hervor aus der Tiefe des Meers werden schauen die Inseln.
Aber wann einst von Blut überströmt der mächtige Euphrat,
Dann wird den Medern und Persern ein schrecklich tobender Schlachtlärm
Sich erheben im Krieg, und den Speeren der Perser erliegend
Werden die Meder entfliehn über's mächtige Wasser des Tigris.
Und auf der sämmtlichen Welt wird am Grössten die Persische Macht sein,
Und für sie ist bestimmt ein Geschlecht viel beglücketer Herrschaft.
Aber auch übele That wird geschehn, was die Menschen verfluchen;

Φυλόπιδές τε, φόνοι τε, διχοστασίαι τε, φυγαί τε,
Πύργων πρηνισμοί τε, ἀναστασίαι τε πολήων,
Ἑλλὰς ὅταν μεγάλαυχος ἐπὶ πλατὺν Ἑλλήσποντον
Πλεύσει Φρυξὶ βαρεῖαν ἠδ' Ἀσσίδι κῆρα φέρουσα.
Αὐτὰρ ἐς Αἴγυπτον πολυαύλακα πυροφόρον τε
Λιμὸς ἀκαρπίη τε, περιπλομένων ἐνιαυτῶν
Εἴκοσι, φοιτήσει, σταχυητρόφος ἠνίκα Νεῖλος
Ἄλλοθί που ὑπὸ γαῖαν ἀποκρύψει μέλαν ὕδωρ.
Ἥξει δ' ἐξ Ἀσίης βασιλεὺς μέγας ἔγχος ἀείρας
Νησὶν ἀμετρήτοισι, τὰ μὲν βυθοῦ ὑγρὰ κέλευθα
Πεζεύσει, πλεύσει δέ τε μοῦνος, ἃ ποσσὶ πατεῖται·
Ὃν φυγάδ' ἐκ πολέμου δεινὴ ὑποδέξεται Ἀσσίς.
Σικελίην δὲ τάλαιναν ἐπιφλέξει μάλα πᾶσαν
Χεῦμα πυρὸς μεγάλοιο, ἐρευξαμένης φλογὸς Αἴτνης.
Ἡ δὲ Κρότων πέσεται μεγάλη πόλις εἰς βαθὺ χεῦμα.
Ἔσται δ' Ἑλλάδι νεῖκος· ἐπ' ἀλλήλοις δὲ μανέντες
Πολλὰς πρηνίξουσι πόλεις, πολλοὺς δ' ὀλέσουσι
Μαρνάμενοι· τὸ δὲ νεῖκος ἰσόῤῥοπον ἀλλήλοισιν.
Ἀλλ' ὅταν ἐς δεκάτην γενεὴν μερόπων χρόνος ἔλθῃ,
Καὶ τότε μὲν Πέρσαις ζυγὰ δούλια καὶ φόβος ἔσται.
Αὐτὰρ ἐπεὶ σκήπτροισι Μακήδονες αὐχήσουσιν,
Ἔσται καὶ Θήβαισι κακὴ μετόπισθεν ἅλωσις,
Κᾶρες δ' οἰκήσουσι Τύρον, Τύριοι δ' ἀπολοῦνται.
Καὶ Σάμον ἄμμος ἅπασαν ὑπ' ἠϊόνεσσι καλύψει.
Δῆλος δ' οὐκέτι δῆλος, ἄδηλα δὲ πάντα τὰ Δήλου.
Καὶ Βαβυλὼν μεγάλη μὲν ἰδεῖν, μικρὰ δὲ μάχεσθαι,
Στήσεται ἀχρήστοισιν ἐπ' ἐλπίσι τειχισθεῖσα.
Βάκτρα κατοικήσουσι Μακήδονες· οἱ δ' ἀπὸ Βάκτρων
Καὶ Σούσων φεύξονται ἐφ' Ἑλλάδα γαῖαν ἅπαντες.
Ἔσσεται ἐσσομένοις, ὅτε Πύραμος ἀργυροδίνης,
Ἠϊόνα προχέων, ἱερὴν εἰς νῆσον ἵκηται.
Καὶ Σύβαρις πέσεται, καὶ Κύζικος, ἠνίκα γαίης
Βρασσομένης σεισμοῖσιν ὀλεισθαίνουσι πόληες.
Ἥξει καὶ Ῥοδίοις κακὸν ὕστατον, ἀλλὰ μέγιστον.
Οὔτε Μακεδονίης ἀεὶ κράτος· ἀλλ' ἀπὸ δυσμῶν
Ἰταλὸς ἀνθήσει πόλεμος μέγας, ᾧ ὕπο κόσμος
Λατρεύσει, δούλειον ἔχων ζυγὸν, Ἰταλίδῃσι.
Καρχηδὼν, καὶ σεῖο χαμαὶ γόνυ πύργος τ' ἐρείψει.
Τλῆμον Λαοδίκεια, σὲ δὲ τρώσει ποτὲ σεισμὸς
Πρηνίξας, στήσῃ δὲ πάλιν πόλις εὐρυάγυια.
Καὶ σὺ, Κόρινθε τάλαινα, τεήν ποτ' ἐπόψῃ ἅλωσιν.

Schlachtengetümmel und Mord und Aufruhr entstehet und Flüchten,
Thürme werden zerstört, die Städte gerathen in Aufruhr,
Wann das ruhmreiche Hellas über den Hellespontus
Ueber den breiten hinfährt und nach Phrygien schweres Verderben,
Und nach Asien trägt. In Aegypten dem furchichten Fruchtland
Wird aber Hunger und Unfruchtbarkeit einherziehen zwanzig
Kreisende Jahre, allwo der Aehren ernährende Nilstrom
Anderswo unter der Erde sein dunkeles Wasser verbirget.

Aber aus Asien wird den Speer ein mächtiger König
Heben auf Schiffen ohn' Zahl, und die nassen Pfade des Meeres
Geht er zu Fuss und schiffet allein, wo mit Füssen man hintritt:
Und kriegsflüchtig wird ihn das arme Asien erhalten.

Aber ein Strom von gewaltigem Feu'r wird das arme Sicilien
Gänzlich verheeren mit Brand, wann des Aetna Flamme hervorbricht.
Und Kroton, die mächtige Stadt, in die Tiefe des Stroms sinkt.

Und in Hellas wird sein ein Streit; gegenseitig entbrennend
Stürzen sie hin in den Staub viele Städte, viel gehen zu Grunde
In dem Kampfe; der Streit aber bleibt unentschieden für beide.

Aber wenn dann zum zehnten Geschlechte der Menschen die Zeit kömmt;
Dann wird sklavisches Joch und Furcht den Persern entstehen.
Wann aber einst Macedonien wird sich rühmen der Herrschaft,
Dann wird rascher auch Theben bedrohn eine böse Erobrung.
Karier wohnen in Tyrus; die Tyrier gehen zu Grunde.
Und ganz Samos bedeckt der Sand an dem Ufer des Meeres.
Delos erblickt man nicht mehr; verschwunden ist Alles von Delos.
Und Babylon ist gross zwar zu sehn, doch winzig zum Kampfe,
Und auferbauet wird es auf nutzlose Hoffnungen dastehn.
Der Macedonier wohnt in Baktra, doch Baktras Bewohner
Werden mit Susa entfliehn insgesammt in die Lande von Hellas.

Dies wird künftig geschehn, wenn des Pyramus silberne Wellen
Schlagen ans Ufer des Meers und gelangen zur heiligen Insel.
Auch stürzt Sybaris hin und Kyzikus, wann aufgestört wird
Durch Erschüttrung die Erd', und die Städte gehen zu Grunde.
Auch den Rhodern zuletzt kommt das Unheil, von allen das grösste.

Auch Macedonien wird nicht beständig herrschen; im Westen
Sprosset ein grosser Italischer Krieg und unter ihm wird sich
Beugen die Welt im sklavischen Joch vor den Italienern.
Karchedon, dein Thurm wird auch niederstürzen zur Erde.
Armes Laodicäa, Erdbeben wird einst dich beschäd'gen,
Stürzt dich dahin; doch wird die geräumige wieder aufstehen.
Auch du, armes Korinth, wirst deine Eroberung sehen.

Ὦ Λυκίης Μύρα καλὰ, σὲ δ᾽ αὖ ποτε βρασσομένη χθὼν
Πρηνίξει· πρηνὴς δὲ κλόνῳ πίπτουσ᾽ ἐπὶ γαῖαν,
Εἰς ἑτέραν εὔξῃ προφυγεῖν χθόνα, οἷα μέτοικος.
Ἡνίκα δὴ Πατάρων ὅμαδόν ποτε δυσσεβίῃσιν
Βρονταῖς καὶ σεισμοῖσιν ἄλλος πετάσει μέλαν ὕδωρ.
Ἀρμενίη, καὶ σὲ δὲ μένει δούλειος ἀνάγκη·
Ἥξει καὶ Σολύμοισι κακὴ πολέμοιο θύελλα
Ἰταλόθεν, νηὸν δὲ Θεοῦ μέγαν ἐξαλαπάξει.
Ἡνίκα δ᾽ ἀφροσύνῃσι πεποιθότες, εὐσεβίην μὲν
Ῥίψουσι, στυγερὸν δὲ τελοῦσι φόνον περὶ νηὸν,
Καὶ τότ᾽ ἀπ᾽ Ἰταλίης βασιλεὺς μέγας, οἷά τε ἀστὴρ,
Φεύξετ᾽ ἄφαντος, ἄπυστος, ὑπὲρ πόρον Εὐφρήταο,
Ὁππότε δὴ μητρῷον ἄγος στυγεροῖο φόνοιο
Τλήσεται, ἄλλα τε πολλὰ κακῇ σὺν χειρὶ τιθήσας.
Πολλοὶ δ᾽ ἀμφ᾽ ἱερὸν Ῥώμης πέδον αἱμάξουσι,
Κείνου ἀποδράσαντος ὑπὲρ τὴν πατρίδα γαῖαν.
Εἰς Συρίην δ᾽ ἥξει Ῥώμης πρόμος, ὃς πυρὶ νηὸν
Συμφλέξας, Σολύμων πολλοὺς δορὶ ἀνδροφονήσει,
Ἰουδαίων δ᾽ ὀλέσει μεγάλην χθόνα εὐρυάγυιαν.
Καὶ τότε δὴ Σαλαμῖνα, Πάφον θ᾽ ἅμα σεισμὸς ὀλέσσει,
Κύπρον ὅταν πολύκλυστον ὑπερκλονέῃ μέλαν ὕδωρ.
Ἀλλ᾽ ὁπόταν χθονίης ἀπὸ ῥωγάδος Ἰταλίδος γῆς
Πυρσὸς ὑποστρέψας εἰς οὐρανὸν εὐρὺν ἱκάνῃ,
Πολλὰς δὲ φλέξῃ πόλιας, καὶ ἄνδρας ὀλέσσῃ,
Πολλὴ δ᾽ αἰθαλόεσσα τέφρη μέγαν αἰθέρα πλήσῃ,
Καὶ ψεκάδες πίπτωσιν ἀπ᾽ οὐρανοῦ, οἷά τε μίλτος,
Γινώσκειν τότε μῆνιν ἐπουρανίοιο Θεοῖο,
Εὐσεβέων ὅτι φῦλον ἀναίτιον ἐξολέκουσιν.
Εἰς δὲ δύσιν τότε νεῖκος ἐγειρομένου πολέμοιο
Ἥξει, καὶ Ῥώμης ὁ φυγὰς, μέγα ἔγχος ἀείρων,
Εὐφρήτην διαβὰς, πολλαῖς ἅμα μυριάδεσσιν.
Τλήμων Ἀντιόχεια, σὲ δὲ πτόλιν οὐκέτ᾽ ἐροῦσιν·
Ἡνίκ᾽ ἂν ἀφροσύνῃσι τεαῖς περὶ δούρασι πίπτῃς.
Καὶ Κύπρον τότε λιμὸς ὀλεῖ, καὶ φύλοπις αἰνή.
Αἰ αἰ, Κύπρε τάλαινα, σὲ δὲ πλατὺ κῦμα θαλάσσης
Κρύψει, χειμερίῃσιν ἀναῤῥιφθεῖσαν ἀέλλαις.
Ἥξει δ᾽ εἰς Ἀσίην πλοῦτος μέγας, ὃν ποτε Ῥώμη
Αὐτὴ συλήσασα πουλυκτέανον κατὰ δῶμα
Θήκατο· καὶ δὶς ἔπειτα τοσαυτάκις ἄλλα παρέξει
Εἰς Ἀσίην, τότε δ᾽ ἔσται ὑπέρκτησις πολέμοιο.
Καρῶν δὲ πτολιέθρα παρ᾽ ὕδασι Μαιάνδροιο,

Lycisches Myra, so schön, auch dich wird die kochende Erde
Stürtzen in Staub, und sinkend zur Erde im Schlachtengetümmel
Wirst du in anderes Land wie ein Fremdling suchen zu fliehen,
Wann die Gottlosen einst in Patara all miteinander
Gott unter Donner und Beben umfängt mit der dunkelen Meerfluth.
Auch Armenien dich erwartet ein sklavischer Zwang einst.
Auch wird des Krieges gewaltiger Sturm Jerusalem treffen
Von Italien und Gottes grossen Tempel verwüsten.
Aber wann sie auf Thorheit vertrauend die Gottesfurcht lassen,
Und den grässlichen Mord rings um den Tempel vollbringen;
Dann wird ein mächtiger König aus Italien fliehn unerwartet,
Gleich einem Meteor, ohne Nachricht, über den Euphrat,
Wann er die Schuld des frevlen Mords an der Mutter vollbracht hat,
Und viel Anderes noch mit boshaften Händen verübet.
Viele werden jedoch auf Romas heiligem Boden
Bluten, wann Jener hinaus flieht über des Vaterlands Grenzen.
Aber nach Syrien kömmt ein Römischer Feldherr; mit Feur wird
Dieser den Tempel verbrennen und viele Bewohner durchbohren,
Und das Jüdische Land, das grosse und weite, verheeren.
Auch wird Salamis dann und Paphos Erdbeben vernichten,
Wann die dunkele Fluth überschwemmt das umfluthete Cypern.
Wann aber einst vom zerklüfteten Land der Italischen Erde
Sich ein kehrendes Feur zum weiten Himmel hin ausdehnt,
Und viele Städte verbrennt, und Männer vernichtet, und anfüllt
Mit einer Menge von feuriger Asche die Weite des Aethers,
Und vom Himmel herab wie Mehlthau fallen die Tropfen:
Dann ist der Zorn des himmlischen Gottes wohl zu erkennen,
Weil sie der Frommen Geschlecht unschuldig haben vernichtet.
Aber zum Occident wird dann der Streit des entbrennenden Krieges
Kommen, und auch wird der Flüchtling von Rom mit gehobenem Speere
Ueber den Euphrat kommen daher mit viel tausend Genossen.
Armes Antiochia, dich nennt man fürder nicht Stadt mehr,
Wann du durch eigene Thorheit hinsinkest unter den Speeren.
Cypern rafft dann der Hunger hinweg und die würgende Feldschlacht.
Weh, weh, elendes Cypern, dich wird die gewaltige Meerfluth
Ueberdecken, wann dich die Stürme des Winters erfassen.
Aber nach Asien wird ein grosser Reichthum gelangen,
Welchen geplündert einst Rom und geschleppt zur vermöglichen Heimath.
Und wohl zweimal soviel wird es noch Anderes liefern
Dann nach Asien und des Krieges Früchte geniessen.
Aber der Karier Stadt an den Wassern des Flusses Mäandros,

Ὅσσα πεπύργωνται περικαλλέα, πικρὸς ὀλέσσει
Λιμὸς, ὅταν Μαίανδρος ἀποκρύψῃ μέλαν ὕδωρ.
Ἀλλ᾽ ὅταν εὐσεβίη μὲν ὑπ᾽ ἀνθρώπων ἀπόληται,
Πίστις καὶ τὸ δίκαιον, ἐπ᾽ οὐχ ὁσίαισι δὲ τόλμαις
Ζῶντες, ὕβριν ῥ᾽ ἔξωσιν ἀτάσθαλον, ἄλλα τε πολλὰ,
Εὐσεβέων δ᾽ οὐδεὶς ποιῇ λόγον, ἀλλὰ καὶ αὐτοὺς
Πάντας ὑπ᾽ ἀφροσύνης μέγα νήπιοι ἐξολέσωσιν,
Ὑβρεσι χαίροντες, καὶ ἐφ᾽ αἵμασι χεῖρας ἔχοντες·
Καὶ τότε γινώσκειν Θεὸν οὐκέτι πρηΰν ἐόντα,
Ἀλλὰ χόλῳ βρίθοντα, καὶ ἐξολέκοντα γενέθλην
Ἀνθρώπων μάλα πᾶσαν ὑπ᾽ ἐμπρησμοῦ μεγάλοιο.
Ἅ μέλεοι, μετάθεσθε, βροτοὶ, τάδε, μηδὲ πρὸς ὀργὴν
Παντοίην ἀγάγητε Θεὸν μέγαν· ἀλλὰ μεθέντες
Φάσγανα, καὶ στοναχὰς, ἀνδροκτασίας τε, καὶ ὕβρεις,
Ἐν ποταμοῖς λούσασθε ὅλον δέμας ἀενάοισι,
Χεῖράς τ᾽ ἐκτανύσαντες ἐς αἰθέρα, τῶν πάρος ἔργων
Συγγνώμην αἰτεῖσθε, καὶ εὐσεβίαις ἀσέβειαν
Πικρὰν ἰάσασθε· Θεὸς δὲ δώσει μετάνοιαν,
Οὐδ᾽ ὀλέσει· παύσει δὲ χόλον πάλιν, εἴπερ ἅπαντες
Εὐσεβίην ἐρίτιμον ἐνὶ φρεσὶν ἀσκήσητε.
Εἰ δ᾽ οὔ μοι πείθοισθε κακόφρονες, ἀλλ᾽ ἀσέβειαν
Στέργοντες, τάδε πάντα κακαῖς δέξησθε ἀκουαῖς,
Πῦρ ἔσται κατὰ κόσμον ὅλον καὶ σῆμα μέγιστον,
Ῥομφαῖαι, σάλπιγγες, ἅμ᾽ ἠελίῳ ἀνιόντι·
Κόσμος ἅπας μύκημα καὶ ὄμβριμον ἦχον ἀκούσει.
Φλεξει δὲ χθόνα πᾶσαν, ἅπαν δ᾽ ὀλέσει γένος ἀνδρῶν,
Καὶ πάσας πόλιας, ποταμούς θ᾽ ἅμα ἠδὲ θαλάσσας
Ἐκκαύσει, τάδε πάντα κόνις ἔσετ᾽ αἰθαλόεσσα.
Ἀλλ᾽ ὅταν ἤδη πάντα τέφρη σποδόεσσα γένηται,
Καὶ πῦρ κοιμήσῃ Θεὸς ἄσπετον, ὅπερ ἀνῆψεν·
Ὅστεα καὶ σποδιὴν αὐτὸς Θεὸς ἔμπαλιν ἀνδρῶν
Μορφώσει, στήσει δὲ βροτοὺς πάλιν ὡς πάρος ἦσαν.
Καὶ τότε δὴ κρίσις ἔσται· ἐφ᾽ ᾗ δικάσει Θεὸς αὐτὸς,
Κρίνων ἔμπαλι κόσμον. Ὅσοι δ᾽ ὑπὸ δυσσεβίῃσιν
Ἥμαρτον, τοὺς δ᾽ αὖτε χυτὴ κατὰ γαῖα καλύψει
Τάρταρά τ᾽ εὐρώεντα, μυχοὶ στυγίη δέ τε γέεννα.
Ὅσσοι δ᾽ εὐσεβέουσι, πάλιν ζήσοντ᾽ ἐπὶ γαῖαν,
Πνεῦμα Θεοῦ δόντος, ζωήν θ᾽ ἅμα καὶ βίον αὐτοῖς
Εὐσεβέσι· πάντες δὲ τότ᾽ εἰσόψονται ἑαυτοὺς,
Νήδυμον ἠελίου τερπνὸν φάος εἰσορόωντες.
Ὦ μακαριστὸς, ἐκεῖνον ὃς ἐς χρόνον ἔσσεται ἀνήρ.

Wie sie mit Thürmen so schön geziert, sie richtet zu Grund einst
Bittere Noth, wann versiegt des Mäandros dunkeles Wasser.
Aber wann einst die Frömmigkeit ist bei den Menschen verschwunden,
Und die Treue und Recht, wann man in unheiligem Wagniss
Lebet dahin, in unsäglichem Stolz und in Anderem vielen,
Keiner mehr Rücksicht nimmt auf den Frommen, sondern sie selber
Sämmtlich sich richten zu Grund, die Thoren, in thörichtem Wahnsinn,
Wannm an des Uebermuths froh ist, die Hände von Blute befleckt sind:
Alsdann dürftet ihr auch wohl erfahren, dass Gott nicht mehr mild ist,
Sondern dass schwer dann lastet sein Zorn und vernichtet der Menschen
Ganzes Geschlecht zumal in seinem gewaltigen Zürnen.
Elende Sterbliche, fasst doch Reue, zum vielfachen Zorne
Treibet nicht Gott den mächtigen an, vielmehr lasset fahren
Schwerdter und Stöhnen und Mord der Männer und stolzes Betragen,
Und in quellenden Strömen waschet die ganze Gestalt ab,
Und gen Himmel erhebt die Hände und bittet Verzeihung
Für das frühere Thun; durch Gottesfurcht heilet die bittre
Gottlosigkeit; dann wird Gott andre Gesinnung verleihen
Und nicht vernichten; der Zorn wird wieder sich legen, wenn ihr nur
Treffliche Gottesfurcht übt, ihr Alle zumal in dem Herzen.
Aber wenn ihr bösartigen Sinns nicht gehorcht, sondern Frevel
Liebt und mit frevlem Gehör dies Alles nur werdet aufnehmen:
Feuer kömmt dann in die sämmtliche Welt und ein sehr grosses Zeichen:
Schwerdter, Trompeten zugleich, da wo sich die Sonne erhebet;
Und die sämmtliche Welt hört Brüllen und mächtiges Brausen.
Und er verbrennt die sämmtliche Erd' und vernichtet das ganze
Menschengeschlecht, alle Städte und Flüsse zugleich mit dem Meere
Wird er verbrennen, das Alles wird dann ein glühender Staub sein.
Aber wann Alles nun ist geworden zur graulichen Asche,
Dann wird Gott das unsägliche Feur, das er machte, auslöschen;
Und die Gebeine und Asche der Menschen wird Gott wieder selber
Neugestalten und machen die Menschen, wie früher sie waren.
Und dann kömmt das Gericht, worin Gott selbst zu Gericht sitzt,
Richtend die Welt wiederum, und die, welche gottlos gesündigt,
Diese wird dann nachher die verschüttete Erde verbergen,
In des Tartarus Nacht, in Geklüft und schreckliche Hölle.
Die aber voll von Gottesfurcht sind, die werden auch wieder
Leben auf Erden, den Geist gibt Gott, auch Leben und Nahrung,
Ihnen den Frommen zugleich, und dann werden Alle sich sehen,
Wann sie das süsse, erfreuliche Licht der Sonne erblicken.
O wie glücklich der Mann, welcher jene Zeit einst erlebet.

ΤΩΝ ΣΙΒΥΛΛΙΑΚΩΝ

ΧΡΗΣΜΩΝ

ΛΟΓΟΣ ΠΕΜΠΤΟΣ.

Ἀλλ᾽ ἄγε μοι στονόεντα χρόνον κλεινῶν τε Λατίνων·
Ἤτοι μὲν πρώτιστα, μετ᾽ ὀλλυμένους βασιλῆας
Αἰγύπτου, τοὺς πάντας ἴσῃ κατὰ γαῖα φέρεσκε,
Καὶ μετὰ τὸν Πέλλης πολιήτορα, τῷ ὕπο πᾶσα
Ἀντολίη δεδάμαστο καὶ ἑσπερίη πολύολβος,
Ὃν Βαβυλὼν ἤλεγξε, νέκυν δ᾽ ὤρεξε Φιλίππῳ,
Οὐ Διὸς, οὐκ Ἄμμωνος ἀληθῆ φημιχθέντα·
Ἔσσονται γενεῆς τε καὶ αἵματος Ἀσσαράκοιο,
Ὅσθ᾽ ἕξει Τροίην, ὅστις πυρὸς ἔσχισεν ὁρμήν.
Πολλοὺς δ᾽ αὖ μετ᾽ ἄνακτας, ἀρηϊφίλους μετὰ φῶτας,
Καὶ μετὰ θηρὸς τέκνα τὰ δίπλοα μηλοφάγοιο,
Ἔσται ἄναξ πρώτιστος, ὅστις δέκα δὶς κορυφώσει
Γράμματος ἀρχομένου· πολέμων δ᾽ ἐπὶ πουλὺ κρατήσει·
Ἕξει δ᾽ ἐκ δεκάδος πρῶτον τύπον· ὥστε μετ᾽ αὐτὸν
Ἄρχειν, στοιχείων ὅστις λάχε γράμματος ἀρχήν·
Ὃν Θρᾴκη πτήξει, καὶ Σικελίη, καὶ Μέμφις,
Μέμφις πρηνιχθεῖσα δι᾽ ἡγεμόνων κακότητα
Ἠδὲ γυναικὸς ἀδουλώτου ἐπὶ κῦμα πεσούσης.
Καὶ θεσμοὺς θήσει λαοῖς, καὶ πάνθ᾽ ὑποτάξει·
Ἐν μακρῷ δὲ χρόνῳ, ἑτέρῳ παραδώσεται ἀρχὴν,
Ὅστε τριηκοσίων ἀριθμὸν κεραίην ἐπὶ πρώτην
Ἕξει, καὶ ποταμοῦ φίλον οὔνομα, ὅς τ᾽ ἐπὶ Πέρσας
Ἄρξει καὶ Βαβυλῶνα, βαλεῖ δορὶ δὴ τότε Μήδους.
Εἶτα τριῶν ἀριθμὸν κεραίην ὅστις λάχεν ἄρξει.
Δὶς δέκα ὅστις ἔπειθ᾽ ἕξει κεραίην ἐπὶ πρώτην,
Ἔσσετ᾽ ἄναξ· κεῖνος δὲ καθ᾽ ὕστατον Ὠκεανοῖο

SIBYLLINISCHE WEISSAGUNGEN.

FÜNFTES BUCH.

Nun aber bring mir die traurige Zeit der berühmten Lateiner;
Sie die vor Allen zuerst, nach dem Tode der Herrscher Aegyptens
Lebten, und welche die Erd' allesammt gleichmässig hinwegnahm.
Und die nach Pellas Mitbürger gelebt, unter dem der gesammte
Orient ward unterjocht und das glückliche Land gegen Abend,
Den Babylon abgewehrt und als Leiche gewährt dem Philippus,
Dem nicht von Ammon noch Zeus die Wahrheit wurde verkündigt.
Welche entstammt vom Geschlecht und vom Blute der Assarakiden,
Der einst Troja besitzt und den Andrang des Feuers bestanden.
Aber nach vielen Gebietern und vielen kriegslustigen Männern,
Und nach dem Zwillingsspross des Schafe verzehrenden Thieres,
Dann wird vorerst ein Herrscher entstehn, der im ersten Buchstaben
Zählet zweimal zehn und im Krieg eine grosse Gewalt übt.
Auch von der Zehnzahl hat er das erste Zeichen; und so wird
Herrschen nach ihm, der trägt in der Reihe des Buchstabens ersten,
Welchen Thrazien und Sizilien fürchtet und Memphis,
Memphis, welches gestürtzt durch die Bosheit seiner Beherrscher
Und der nicht unterworfenen Frau, die im Wasser versinket.
Und in Bande legt er die Völker, und Alles bezwingt er.
Aber nicht lange nachher übergiebt er dem Andern die Herrschaft,
Welcher die Zahl dreihundert als ersten Buchstaben besitzet,
Und eines Flusses lieblichen Namen, der über die Perser
Und über Babylon herrscht, und die Meder dann trifft mit dem Speere.
Herrschen aber wird dann, der die Dreizahl erhalten als Zeichen.
Dann wird wer zweimal zehn als ersten Buchstaben besitzet
Herr sein; der aber wird zu des Oceans äussersten Fluthen

Ἴξεθ᾽ ὕδωρ, ἄμπωσιν ὑπ᾽ Αὐσονίοισιν ἀΐξας.
Πεντήκοντα δ᾽ ὅστις κεραίην λάχε, κοίρανος ἔσται,
Λεινὸς ὄφις, φυσῶν πόλεμον βαρὺν, ὃς ποτε χεῖρας
Ἧς γενεῆς τανύσας ὀλέσει, καὶ πάντα ταράξει,
Ἀθλεύων, λαὸν κτείνων, καὶ μυρία τολμῶν·
Καὶ τμήξει τὸ δίκυμον ὕδωρ, λύθρῳ τε παλάξει·
Ἀλλ᾽ ἔσται καὶ ἄϊστος ὀλοίϊος· εἶτ᾽ ἀνακάμψει,
Ἰσάζων Θεῷ αὐτόν· ἐλέγξει δ᾽ οὔ μιν ἐόντα.
Τρεῖς δὲ μετ᾽ αὐτὸν ἄνακτες ὑπ᾽ ἀλλήλων ἀπολοῦνται.
Εἶτά τις εὐσεβέων ὀλετὴρ ἥξει μέγας ἀνδρῶν,
Ἑπτάκις ὃς δεκάτην κεραίην δείκνυσι πρόδηλον.
Τοῦ δὲ, τριηκοσίης κεραίης ὅ,τι πρῶτον ἐλέγχων,
Παῖς κράτος ἐξαφελεῖ. Μετὰ δ᾽ αὐτὸν μόρσιμος ἔσται
Τετράδος ἐκ κεραίης [Θυμοφθόρος]. Αὐτὰρ ἔπειτα
Πεντηκοντάριθμος γεραρὸς βροτός. Αὐτὰρ ἐπ᾽ αὐτῷ,
Ὅστε τριηκοσίης κεραίης λάχεν ἔντυπον ἀρχὴν,
Κελτὸς ὀρειοβάτης, σπεύδων ἐπὶ δῆριν ἐφ᾽αν,
Μοῖραν ἀεικελίην οὐ φεύξεται, ἀλλὰ καμεῖται·
Ὃν κόνις ἀλλοτρίη κρύψει νέκυν, [ἀλλὰ Νεμείης]
Ἄνθεος οὔνομ᾽ ἔχουσα. Μετ᾽ αὐτὸν δ᾽ ἄλλος ἀνάξει
Ἀργυρόκρανος ἀνήρ· τῷ δ᾽ ἔσσεται οὔνομα πόντου,
Ἔσται καὶ πανάριστος ἀνὴρ, καὶ πάντα νοήσει.
Καὶ ἐπὶ σοὶ, πανάριστε, πανέξοχε, κυανοχαῖτα,
Καὶ ἐπὶ σοῖσι κλάδοισι τάδ᾽ ἔσσεται ἤματα πάντα.
Τρεῖς ἄρξουσιν· ὁ δὲ τρίτατος σφῶν ὀψὲ κρατήσει.
Τείρομαι ἢ τριτάλαινα κακὴν φάτιν ἐν φρεσὶ θέσθαι,
Ἶσιδος ἢ γνωστὴ, καὶ χρησμῶν ἔνθεον ὕμνον.
Πρῶτον μὲν περὶ σεῖο βάσιν ναοῦ πολυκλαύστου
Μαινάδες ἀΐξουσι, καὶ ἐν παλάμαισι κακαῖσιν
Ἔσσεται ἤματι τῷδε, ὅταν ποτὲ Νεῖλος ὀδεύσῃ
Γαῖαν ὅλην Αἴγυπτον ἕως πηχῶν δέκα πρὸς ἕξ,
Ὅς κλύσει γῆν πᾶσαν, ἐπαρδεύσει δὲ βροτοῖσι·
Σιγήσει δὲ χάρις γαίης καὶ δόξα προσώπου.
Μέμφι, σὺ μὲν κλαύσῃ ὑπὲρ Αἰγύπτου τὰ μέγιστα·
Πρόσθε γὰρ ἡ μεγάλως γαίης κρατέουσα, γενήσῃ
Λυπρὴ, ὥστε βοῆσαι καὐτὸν τερπικέραυνον
Οὐρανόθεν φωνῇ μεγάλῃ· Μεγαλόσθενε Μέμφι,
Ἣ τὸ πάλαι δειλοῖσι βροτοῖς αὐχοῦσα μέγιστα,
Κλαύσεαι ἀργαλέη καὶ πάμμορος, ὥστε νοῆσαι
Αὐτὴν ἀΐδιον Θεὸν ἄμβροτον ἐν νεφέεσσι.
Ποῦ σου λῆμμα κραταιὸν ἐν ἀνθρώποισι τέτυκται;

Kommen und schnell mit der fallenden Fluth in Ausonien landen.
Drauf wird, welcher die Zahl von Fünfzig erhalten, gebieten,
Eine entsetzliche Schlange, der schnaubt nach gewaltigem Kriege,
Und nach dem eignen Geschlecht vertilgend die Hand reckt und Alles
Wirret im Kampf, das Volk hinwürgt und Unzähliges waget.
Und die zweimeerige Fluth durchsticht er und färbt sie mit Blute.
Aber es schwindet dahin der Verderbliche, kehret dann wieder,
Achtet sich gleich Gott; doch wird er ihn, der es nicht ist, beschämen.
Aber nach ihm gehn drei der Herrscher zu Grund durch einander.
Dann wird Einer erstehn, ein gewalt'ger Vertilger der Frommen,
Welcher siebenmal zehn als Zeichen offen an sich trägt.
Dem aber raubet die Macht ein Sohn, der das erste des Zeichens
Von dreihundert enthält; und nach ihm unterlieget dem Schicksal
Ein verderblicher Mann, den die Vierzahl bezeichnet. Doch nachher
Kömmt ein ältlicher Mann mit der Zahl von fünfzig; und darauf,
Welcher die Zahl dreihundert erhielt, als Anfang der Bezeichnung;
Der das Gebirge durchzieht, ein Kelte, zum Kampfe im Orient
Eilt; aber schmählichem Tod nicht entrinnt er, sondern erlieget;
Und als Leiche wird ihn eine fremde Erde bedecken.
Aber der Blume Nemeas Namen er trägt; und nach ihm wird
Herrschen ein anderer Mann mit silbernem Helm; eines Meeres
Namen er trägt, ein gar trefflicher Mann, und der Alles einsiehet.
Und unter dir, du trefflicher, herrlicher, dunkelgelockter,
Und unter deinem Geschlecht nach dir geschieht dies alle Zeiten.
Drei werden herrschen, doch spät wird der dritte von ihnen regieren.
Dreimal Unglückliche ich, der Isis Schwester, muss hegen
Uebele Rede im Herzen und göttlichen Sang der Orakel.
Erstlich werden ob dir, zu dem Grund des beweineten Tempels
Stürmen Mänaden heran, und er wird in übelen Händen
Sein jenes Tags, wann der Nil die ganze Aegyptische Erde
Wird überschwemmen dereinst, an sechszehn Ellen in Höhe,
Der überschwemmt das sämmtliche Land und ersäufet die Menschen;
Und des Landes Anmuth und des Antlitzes Herrlichkeit schweigen.
Memphis, du wirst zumeist für Aegypten Thränen vergiessen:
Früher hast du mit Macht in dem Lande geherrschet, voll Trauer
Wirst du sein, so dass selbst er, der an dem Blitze sich freuet,
Ruft mit gewaltiger Stimme vom Himmel: O mächtiges Memphis,
Das vordem sich gewaltig erhob über schwächere Menschen,
Weinen wirst du voll Schmerz und im Unglücke, dass du erkennest
Ihn den ewigen Gott, den unsterblichen in dem Gewölke.
Was ward unter den Menschen aus deiner so trotzigen Sinnsart?

Ἀνθ' ὧν ἐξεμάνης ἐς ἐμοὺς παῖδας Θεοχρίστους,
Καί τε κακὴν ὤτρυνας ἐν ἀνδράσι τοῖς ἀγαθοῖσιν,
Ἔξεις ἀντὶ τόσων τοίαν τροφὸν εἵνεκα ποινῆς.
Οὐκέτι σοι φανερῶς Θέμις ἔσσεται ἐν μακάρεσσιν,
Ἐξ ἄστρων πέπτωκας, ἐς οὐρανὸν οὐκ ἀναβήσῃ.
Ταῦτα μὲν Αἰγύπτῳ Θεὸς ἔννεπεν ἐξαυδῆσαι
Ὑστατίῳ καιρῷ, ὅτε πάγκακοι ἄνδρες ἔσονται.
Ἀλλὰ ταλαιπωροῦσι κακοὶ κακότητα μένοντες,
Ὀργὴν ἀθανάτοιο, βαρυκτύπου, οὐρανίωνος·
Ἀντιθέους δὲ λίθους καὶ κνώδαλα θρησκεύοντες,
Πολλὰ μάλ' ἄλλυδις ἄλλα φοβούμενοι, οἷς λόγος οὐδείς,
Οὐ νοῦς, οὐκ ἀκοή, ἅ γε μοι Θέμις οὐδ' ἀγορεύειν,
Εἰδώλων τὰ ἕκαστα, βροτῶν παλάμαις γεγαῶτα·
Ἐξ ἰδίων τε κόπων καὶ ἀτασθαλίων ἐπινοιῶν
Ἄνθρωποι δέξαντο θεοὺς ξυλίνους, λιθίνους τε,
Χαλκοῦς τε, χρυσοῦς τε, καὶ ἀργυρέους τε, ματαίους,
Ἀψύχους, κωφοὺς, καὶ ἐν πυρὶ χωνευθέντας
Ποιήσαντο, μάτην γε πεποιθότες ἐν τοιούτοις.
Θμοῦις [καὶ] Ξοῦις θλίβεται, καὶ κόπτεται βουλὴ
Ἡρακλέους τε, Διός τε, καὶ Ἑρμείαο . . . . .
Καὶ σὲ δ', Ἀλεξάνδρεια, κλυτὴ θρέπτειρα [πολήων],
Οὐ λείψει πόλεμός τ', οὐ . . . . . .
Τῆς ὑπερηφανίης δώσεις, ὅσα πρόσθεν ἔρεξας.
Σιγήσεις αἰῶνα πολὺν, καὶ νόστιμον ἦμαρ.
Κοὐκέτι σοι ῥεύσει τρυφερὸν πόμα. . . .

. . . . . .

Καὶ σὴν πᾶσαν ὀλεῖ γαῖαν ἄνθρωπος κακότεχνος,
Αἵματι καὶ νεκύεσσι παρ' ἐκπάγλοισί τε βωμοῖς,
Βαρβαρόφρων, σθεναρὸς, πολυδείματος, ἄφρονα λυσσῶν,
Παμπληθὲι ψαμαθηδὸν ἀπαΐξων σὸν ὄλεθρον.
Καὶ τότ' ἔσῃ, πόλεων πολύολβος, πολλὰ καμοῦσα.
Κλαύσεται Ἀσσὶς ὅλη, δώρων χάριν, ὧν ἀπὸ σεῖο
Στεψαμένη κεφαλὴν ἐχάρη, πίπτουσ' ἐπὶ γαίης.
Αὐτὸς δ' ὃς Περσῶν λάχεν, Αἴγυπτον πτολεμίξει,
Καὶ Κίσσις θεόθεν βασιλεὺς πεμφθεὶς ἐπὶ τοῦτον
Κτείνας ἄνδρα ἕκαστον, ὅλον βίον ἐξαλαπάξει,
Ὥστε μένειν μοῖραν τριτάτην δειλοῖσι βροτοῖσιν.
Αὐτὸς δ' ἐκ δυσμῶν εἰσπτήσεται ἅλματι κούφῳ,
Σύμπασαν γαῖαν πολιορκῶν, πᾶσαν ἐρημῶν.
Ἀλλ' ὅταν ὕψος ἔχῃ κρατερὸν, καὶ τάρβος ἀηδὲς,
Ἥξει δ' αὖ μακάρων ἐθέλων πόλιν ἐξαλαπάξαι.

Weil du gerast gegen meine von Gott gesalbeten Kinder,
Und weil du Uebel gebracht über die frommsinnigen Menschen,
Wirst du wegen soviel diesen Zögling haben zur Strafe.
Nicht wird dir offenbar mehr ein Recht sein unter den Selgen,
Fielst aus den Sternen herab, wirst nicht zum Himmel mehr steigen.
Dieses befahl mir Gott zu reden gegen Aegypten
An der Grenze der Zeit, wann die Menschen gänzlich verderbt sind.
Aber es sind die Schlechten in Noth, erwartend das Uebel
Und des Unsterblichen Zorn, des furchtbaren Donnrers im Himmel;
Welche statt Gott nur Gestein und Ungethüme verehrten,
Und durcheinander viel Anderes noch geehrt, was nicht Sprache
Hat, noch Verstand noch Gehör, und was mir nicht erlaubt ist zu nennen,
Jegliches Götzengebilde von sterblichen Händen geworden.
Eigener Arbeit und Müh und eigener Thorheit Gedanken
Haben die Menschen zu Göttern von Holz sich und Steinen genommen,
Oder von Erz und Gold und Silber, solch nichtige Wesen,
Leblos und ohne Sprache und welche im Feuer geschmolzen,
Machten sie sich und setzten auf sie ihr Vertrauen vergeblich.
Thmuis geräth sammt Xuis in Noth, es sinkt des Herakles
Tempel dahin, auch die Tempel des Zeus und des Hermes . . . .
Alexandria, auch dich, du gefeierte Mutter der Städte,
Nicht wird dir fehlen der Krieg [und die Noth, wirst Strafe erleiden]
Für den hochfahrenden Sinn, und was früher du Alles verübt hast.
Lange Zeit wirst du stumm sein auch an dem Tage der Heimkehr,
Und es wird nicht mehr der üppige Trank dir hinfliessen. . . . .
. . . . . .
Und dein ganzes Gebiet wird ein boshafter Mensch dir verwüsten,
Blut- und Leichenerfüllt bei schrecklichen Opferaltären;
Er barbarischen Sinns, stark, schrecklich und wüthend in Thorheit,
Zahlreich gleich dem Sande am Meer dein Verderben beeilt er.
Und dann wirst du, die glückliche Stadt, sehr Vieles erdulden.
Thränen ganz Asien weint, der Geschenke wegen, die von dir
Ihm umgaben das Haupt in Freuden, nun sinkt es zur Erde.
Der aber, welcher die Perser erhielt, wird Aegypten bekriegen.
Und vom Himmel gesandt wird nach diesem ein Cissischer König,
Jeglichen Mann vernichten und plündern die sämmtliche Habe,
So dass übrig nur bleibt ein Dritttheil den elenden Menschen.
Aber mit hurtigem Sprung wird er von Abend hereilen
Und das sämmtliche Land verheeren und Alles verwüsten.
Doch auf dem Gipfel der Macht und umgeben von leidigem Schrecken
Kömmt er nachher und will die Stadt der Seligen plündern.

Κἀκεῖ τις θεόθεν σθεναρὸς βασιλεὺς ἐκπεμφθείς,
Πάντας ὀλεῖ βασιλεῖς μεγάλους καὶ ἄνδρας ἀρίστους.
Εἶθ' οὕτως τέλος ἔσσεται ἄφθιτον ἀνθρώποισιν.
Αἲ αἲ σοι, κραδίη δειλή, τί με ταῦτ' ἐρεθίζεις,
Ἀηλοῦν Αἰγύπτου πολυκοιρανίην ἀλεγεινήν;
Βαῖνε πρὸς ἀντολίην, Περσῶν γενεὰς ἀνοήτους,
Καὶ δήλου τοῖσι τὸ παρὸν μέλλον ποτ' ἔσεσθαι.
Εὐφρήτου ποταμοῦ ῥεῖθρον κατακλυσμὸν ἐποίσει,
Καὶ Πέρσας ὀλέσει, καὶ Ἴβηρας, καὶ Βαβυλῶνας,
Μασσαγέτας τε φιλοπτολέμους, τόξοισί τε πάντας.
Ἀσσὶς ὅλη πυρίφλεκτος ἕως νήσων σταλαγήσει.
Πέργαμος ἡ τὸ πάλαι σεμνὴ βοτρυδὸν ὀλεῖται,
Καὶ Πιτάνη πανέρημος ἐν ἀνθρώποισι φανεῖται.
Λέσβος ὅλη δύσει βαθὺν εἰς βυθόν, ὥστ' ἀπολέσθαι.
Σμύρνα κατὰ κρημνῶν εἱλισσομένη κατακλαύσει,
Ἡ τὸ πάλαι σεμνὴ καὶ ἐπώνυμος ἐξαπολεῖται.
Βιθυνοὶ κλαύσουσιν ἣν χθόνα τεφρωθεῖσαν,
Καὶ Συρίην μεγάλην, καὶ Φοινίκην πολύφυτον.
Αἲ αἲ σοι, Λυκίη, ὅσα σοι κακὰ μηχανάαται·
Πόντος ἀπ' αὐτομάτου ἐπιβὰς χώρης ἀλεγεινῆς,
Ὡς κλαῦσαι σεισμῷ τε κακῷ, καὶ νάμασι πικροῖς,
Τὴν Λυκίης ἄμυρον καὶ τὴν μυρίπνουν ποτὲ χέρσον.
Ἔσται καὶ Φρυγίῃ δεινὸς χόλος, εἵνεκα λύπης,
Ἧς χάριν ἡ Διὸς ἦλθε Ῥέη, κἀκεῖ προσέμεινε.
Πόντος ὀλεῖ Ταύρων γενεήν, καὶ βάρβαρον ἔθνος,
Καὶ Λαπίθας δάπεδον κατὰ γῆς ἐναρίξει.
Θεσσαλίην χώρην ἀπολεῖ ποταμὸς βαθυδίνης,
Πηνειὸς βαθύρους, [μέροπας σύρων] ἀπὸ γαίης.
Ἠριδανὸς φάσκων θηρῶν μορφάς ποτε γεννᾶν.
Ἑλλάδα τὴν τριτάλαιναν ἀναιάξουσι ποιηταὶ,
Ἠνίκ' ἀπ' Ἰταλίης ἰσθμοῦ πλήξειε τένοντα
Τῆς μεγάλης Ῥώμης βασιλεὺς μέγας, ἰσόθεος φὼς,
Ὅν, φασιν, αὐτὸς ὁ Ζεὺς ἔτεκεν καὶ πότνια Ἥρη·
Ὅστις παμμούσῳ φθόγγῳ μελιηδέας ὕμνους
Θεατροκοπῶν, ἀπολεῖ πολλοὺς σὺν μητρὶ ταλαίνῃ.
Φεύξεται ἐκ Βαβυλῶνος ἄναξ φοβερὸς καὶ ἀναιδής,
Ὃν πάντες στυγέουσι βροτοὶ, καὶ πάντες ἄριστοι·
Ὤλεσε γὰρ πολλοὺς, καὶ γαστέρι χεῖρας ἔθηκεν,
Εἰς ἀλόχους ἥμαρτε, καὶ ἐκ μιαρῶν ἐτέτυκτο.
Ἥξει δ' εἰς Μήδους καὶ Περσῶν πρὸς βασιλῆας,
Πρώτους οὓς ἐπόθησε, καὶ οἷς κλέος ἐγκατέθηκε,

Dort gesendet von Gott wird dann ein kräftiger König
Mächtige Herrscher zumal und die trefflichsten Männer vernichten.
So wird kommen darauf das dauernde Ende der Menschen.
Weh dir, unglückliches Herz, warum treibst du mich zu diesem,
Um Aegyptens unglückliche Vielherrschaft zu verkünden?
Gehe zum Orient hin, zum Thorengeschlechte der Perser,
Diesen verkünde was erst und was sich später ereignet.
Ueberschwemmung wird einst der Strom des Euphrates bringen,
Welche Persien verheert und Iberien und Babylonien,
Und das kriegrische Volk Massagetiens, die kundigen Schützen.
Asien ganz von Feuer verbrannt trieft bis zu den Inseln.
Pergamus auch, das hehre vormals, wird gänzlich vernichtet,
Und Pitane wird ganz von Menschen entblöset erscheinen.
Ganz Lesbos sinkt tief in den Abgrund, so dass es zu Grund geht.
Smyrna gestürtzt vom Abhang hinab wird Thränen vergiessen,
Es, das ehrwürdig vordem und berühmt war, gehet zu Grunde.
Ueber sein Land mit Asche bedeckt wird Bithynien weinen,
Ueber das grosse Syrien auch und Phöniziens Fruchtland.
Wehe dir, Lycien, weh, wie viel Uebeles wird dir bereitet:
In das unglückliche Land wird das Meer sich von selber ergiessen,
Dass über schrecklich Erdbeben und über die bitteren Fluthen
Lyciens Festland weint, wo die Salbe nicht wächst, wo sie duftet.
Phrygien auch sucht schrecklicher Zorn heim wegen der Trauer,
Weshalb die göttliche Rhea hinkam und dorten verweilte.
Wasser vernichtet der Taurer Geschlecht und das Volk der Barbaren,
Auch die Lapithen gestreckt zu Boden wird es vernichten.
Das Thessalische Land verheert der tiefffliessende Peneus
Mit tief wirbelnder Fluth, und spület die Menschen vom Lande.
Eridanus, der zeugen einst soll der Thiere Gestalten.
Hellas, unglückliches Land, dich werden die Dichter beklagen,
Wann von Italien her der grosse König des grossen
Roms, der göttliche Mann, das Land des Isthmus betreten,
Den Zeus selber, sagt man, und die hehre Juno geboren;
Welcher melodischen Tons und mit süss duftenden Hymnen
Schmeichelt dem Volk, und Viele hinwürgt sammt der elenden Mutter.
Fliehen aus Babylon wird der gefürchtete, schändliche Herrscher,
Den jeder Sterbliche hasst und wer nur ein trefflicher Mann ist:
Denn Viele schlachtet er hin, an den Mutterleib legt er die Hände,
Und im Ehbruch gezeuget frevelt er gegen die Frauen.
Aber nach Medien kömmt er und zu den Fürsten der Perser,
Die zuerst er gesucht, und welchen er Ruhm hat bereitet,

Φωλεύων μετὰ τῶνδε κακῶν εἰς ἔθνος ἀηδές·
Ὃς ναὸν θεότευκτον ἔλεν, καὶ ἔφλεξε πολίτας
Λαοὺς εἰσανιόντας, ὅσους ὕμνησε δικαίως·
Τούτου γὰρ φανέντος, ἡ κτίσις ἐξετινάχθη,
Καὶ βασιλεῖς ὤλοντο, καὶ ἐν τοῖσιν μένεν ἀρχὴ,
Ἐς δ' ὄλεσαν μεγάλην τε πόλιν, λαόν τε δίκαιον.
Ἀλλ' ὅταν ἐκ τετράτου ἔτεος λάμψῃ μέγας ἀστὴρ,
Ὃς πᾶσαν γαῖαν καθελεῖ μόνος, εἵνεκα τιμῆς
Ἣν τοι πρῶτον ἔθηκάν τ' εἰναλίῳ Ποσειδῶνι·
Ἥξει δ' οὐρανόθεν τ' ἀστὴρ μέγας εἰς ἅλα δεινὴν,
Καὶ φλέξει πόντον βαθὺν, αὐτήν τε Βαβυλῶνα,
Ἰταλίης γαῖάν θ', ἧς εἵνεκα πολλοὶ ὄλοντο
Ἑβραίων ἅγιοι πιστοὶ, καὶ ναὸς ἀληθής.
Ἔσσεαι ἐν θνητοῖσι κακοῖς κακὰ μοχθήσασα,
Ἀλλὰ μενεῖς πανέρημος ὅλους αἰῶνας ἐπ' αὐτῆς,
[*Ἔσσεται, ἀλλὰ μενεῖ εἰς αἰῶνας πανέρημος,*]
Σὸν στυγέουσ' ἔδαφος, ὅτι φαρμακίην ἐπόθησας,
Μοιχεῖα παρὰ σοὶ, καὶ παίδων μίξις ἄθεσμος,
Θηλυγενὴς, ἄδικός τε, κακὴ πόλι, δύσμορε πασῶν.
Αἰ αἰ, πάντ' ἀκάθαρτε πόλι Λατινίδος αἴης,
Μαινὰς ἐχιδνοχαρὴς, χήρη καθέδοιο παρ' ὄχθας,
Καὶ ποταμὸς Τίβερίς σε κλαύσεται, ἣν παράκοιτιν,
Ἥτε μιαιφόνον ἦτορ ἔχεις, ἀσεβῆ δέ τε θυμόν.
Οὐκ ἔγνως, τί Θεὸς δύναται, τί δὲ μηχανάαται;
Ἀλλ' ἔλεγες, μόνη εἰμὶ, καὶ οὐδείς μ' ἐξαλαπάξει.
Νῦν δέ σε καὶ σοὺς πάντας ὀλεῖ Θεὸς αἰὲν ὑπάρχων,
Κοὐκέτι σου σημεῖον ἔτ' ἔσσεται ἐν χθονὶ κείνῃ,
Ὡς τὸ πάλαι, ὅτε σὰς ὁ μέγας Θεὸς εὖρατο τιμάς.
Μεῖνον, ἄθεσμε, μόνη, πυρὶ δὲ φλεγέθοντι μιγεῖσα,
Ταρτάρεον οἴκησον ἐς ᾅδου χῶρον ἄθεσμον.
Νῦν δὲ πάλιν, Αἴγυπτε, τέην ὀλοφύρομαι ἄτην·
Μέμφι, πόνων ἀρχηγὲ σύ τε, πλησθεῖσα τένοντος,
Ἐν σοὶ πυραμίδες φωνὴν φθέγξονται ἀναιδῆ.
Πυθὼν, ἡ τὸ πάλαι δίπολις κληθεῖσα δικαίως,
Αἰῶσι σίγησον, ὅπως παύσῃ κακότητος.
Ὕβρι κακῶν, θήσαυρε πόνων, μαινὰς πολύθρηνε,
Αἰνοπαθὴς, πολύδακρυ, μενεῖς χήρα διὰ παντός.
Πουλυετὴς ἐγένου σὺ μόνη κόσμοιο κρατοῦσα·
Ἀλλ' ὅταν ἡ Βάρκη τὸ κυπάσσιον ἀμφιβάληται
Λευκὸν ἐπὶ ῥυπαρῷ, μήτ' εἴην, μήτε γενοίμαν.
Ὦ Θήβη, ποῦ σου τὸ μέγα σθένος; ἄγριος ἀνὴρ

Auf das verhasste Volk gelauert mit ihnen den Schlechten.
Welcher die göttlichen Tempel zerstört und die Bürger verbrannt hat,
Völker, die ihn betraten und die nach Gebühr er besungen.
Denn als dieser erschien, da ward die Schöpfung erschüttert,
Könige gingen zu Grund, und welchen die Herrschaft verblieben,
Die zerstörten die mächtige Stadt und das Volk, das gerecht war.
Doch wann ein grosses Gestirn erglänzt nach dem vierten der Jahre,
Welches allein die Erd' insgesammt verdirbt ob der Ehre,
Welche man Anfangs erwies dem Gotte des Meeres, Poseidon:
Dann wird das grosse Gestirn vom Himmel zum dunkelen Meer ziehn,
Und verbrennen die Tiefe des Meers, und Babylon selber,
Und das Italische Land, weshalb viele gingen zu Grunde,
Gläubige, heilge Hebräer und auch der wahrhafte Tempel.
Unter den schlechten Sterblichen wirst du Böses erleiden:
Aber verödet wirst du alle Jahre verbleiben, dazu noch,
[So wird sie sein, doch verwaist wird sie gänzlich die Zeiten durch bleiben,]
Auch hasst man dein eigen Gebiet, weil nach Gift du verlangtest;
Weil du Ehbruch verübt und frevle Vermischung mit Knaben;
Weichliche Stadt, ungerecht und schlecht, unglücklich vor allen.
Weh, weh, Stadt, vor allen unrein im Lateinischen Lande,
Giftge Mänade, verwaist wirst an dem Gestade du sitzen,
Und der Tiberfluss wird dich beweinen als seine Gemahlinn,
Die ein blutgieriges Herz du hast und gottlose Gesinnung.
Weisst du es nicht, was Gott vermag und was er aussinnet?
Aber du sprachst, allein bin ich und Niemand beraubt mich.
Jetzt aber wird der ewige dich und alle die Deinen
Richten zu Grund, keine Spur mehr von dir bleibt in jenem Lande,
Wie ehemals, da der mächtige Gott deiner Ehre gedachte.
Bleibe, gottlose, allein und gesellt zu dem brennenden Feuer,
In dem tartarischen Lande des Hades, dem gottlosen, wohne.
Doch ich bejammre jetzt wiederum deine Leiden, Aegypten:
Memphis die du die erste im Leid und gefüllt bist mit Leichen,
Die Pyramiden bei dir werden schmachvolle Rede aussagen.
Python, die du Dipolis ehmals mit Rechte genannt wardst,
Schweig auf ewige Zeit, damit du von der Schlechtigkeit lassest.
Frevel erfüllte, an Elend so reich und an Thränen, Mänade,
Schreckengequält, mit Thränen erfüllt, wirst immer verwaist sein.
Hoch bejahrt wardst du und allein beherrschtest die Welt du:
Doch wann das weisse Gewand dereinst sich Barke umleget
Ueber das schmutzige Kleid, möcht' ich es nicht sein, noch es werden.
Theben, wo ist deine grosse Gewalt? Ein grausamer Mann wird

Ἐξολέσει λαόν· σὺ δὲ εἵματα φαιὰ βαλοῦσα,
Θρηνήσεις, δύστηνε, μόνη, καὶ πάντ᾽ ἀποτίσεις,
Ὅσσα τὸ πρόσθεν ἔρεξας, ἀθέσμων εἵνεκα ἔργων,
Καὶ κοπετὸν ὄψονται, ἀναιδέα θυμὸν ἔχουσαν.
Συήνην δ᾽ ὀλέσειε μέγας φὼς, Αἰθιόπων τε
[Τέντυριν] οἰκήσουσι βίᾳ μελανόχροες Ἰνδοί.
Πεντάπολι, κλαῦσαί [σε ποιεῖ] μεγαλόσθενος ἀνήρ.
Ὦ Λιβύη πάγκλαυστε, τίς σὰς ἐξηγήσεται ἄτας;
Τίς δέ σε, Κυρήνη, μερόπων ἐλεεινὰ δακρύσει;
Οὐ παύσῃ θρήνου στυγεροῦ πρὸς καιρὸν ὄλεθρον.
Ἔσσεται ἐν Βρύττεσσι καὶ ἐν Γάλλοις πολυχρύσοις
Ὠκεανὸς κελαδῶν πληρούμενος αἵματι πολλῷ·
Καὐτοὶ γὰρ κακότητα Θεοῦ τέκνοις ἐποίησαν,
Ἡνίκα Σιδονίοις βασιλεὺς Φοίνιξ Γαλικανὸν
Ἤγαγεν ἐκ Συρίης πλῆθος πολύ· καί σε φονεύσει,
Αὐτὴ Ῥαβέννη τε, καὶ εἰς φόνον ἡγεμονεύσει.
Ἰνδοὶ, μὴ ταρβεῖτε, καὶ Αἰθίοπες μεγάθυμοι·
Ἡνίκα γὰρ τούτους τροχὸς ἄξονος αἰγοκερίτης,
Ταῦρός τ᾽ ἐν διδύμοις μέσον οὐρανὸν ἀμφιελίξῃ,
Παρθένος ἐξαναβᾶσα, καὶ ἥλιος ἀμφὶ μετώπῳ
Πηξάμενος ζώνην, περιπάμπολον ἡγεμονεύσῃ·
Ἔσσεται ἐμπρησμὸς μέγας αἰθέριος κατὰ γαῖαν,
Ἄστρων δ᾽ ἐν μαχίμοις καινὴ φύσις, ὥστ᾽ ἀπολέσθαι
Ἐν πυρὶ καὶ στοναχαῖς Ἰνδῶν γῆν Αἰθιόπων τε.
Μύρου καὶ σὺ, Κόρινθε, τὸν ἐν σοὶ λυγρὸν ὄλεθρον·
Ἡνίκα γὰρ στρεπτοῖσι μίτοις μοῖραι τριάδελφοι
Κλωσάμεναι, φεύγοντα δόλῳ ἰσθμοῖο παρ᾽ ὀμφὴν
Ἄξουσι μετέωρον, ἕως ἐσίδωσί τε πάντες
Τὸν πάλαι ἐκκόψαντα πέτρην πολυήλατι χαλκῷ,
Καὶ σὴν γαῖαν ὀλεῖ, καὶ κόψει, ὡς προτέθειται.
Τούτῳ γάρ τοι δῶκε Θεὸς μόνος, ἐς τὸ ποιῆσαι
Οἷά τις οὐ πρότερος τῶν συμπάντων βασιλήων.
Πρῶτα μὲν ἐκ τρισσῶν κεφαλῶν σὺν πληγάδι ῥίζης
Στησάμενος μεγάλως, ἑτέροις δώσειε σπάσασθαι,
Ὥστε φαγεῖν σάρκας γονέων βασιλῆος ἀνάγνου.
Πᾶσι γὰρ ἀνθρώποισι φόνος καὶ δείματα κεῖται,
Εἵνεκα τῆς πόλεως μεγάλης τε λαοῦ τε δικαίου,
Σωζομένου διὰ παντὸς, ὃν ἔξοχος εἶχε πρόνοια.
Ἄστατε καὶ κακόβουλε, κακαῖς περικείμενε [κηρσὶν],
Ἀρχὴ καὶ καμάτοιο καὶ ἀνθρώποις μέγα τέρμα,
Βλαπτομένης κτίσεως καὶ σωζομένης πάλι μοίρης,

Richten zu Grunde das Volk; du aber nimmst graue Gewänder,
Weinen wirst du, unglücklich, allein, und Alles abbüssen,
Was du nur früher verübt hast wegen der gottlosen Werke,
Und man erblickt dich im Weh, die du schamlos warst in dem Herzen.
Aber Syene zerstört ein mächtiger Mann; Aethiopiens
Tentyris wird mit Gewalt von den dunkelen Indern bewohnet.
Pentapolis, dich wird ein gewaltiger Herrscher betrüben.
Libyen, reich an Thränen, wer kann deine Leiden aufzählen?
Und Cyrene, wer wird über dich unglückliche weinen?
Bis zum Tode hört nicht mehr auf dein schreckliches Weinen.
Bei den Brittanniern wird und bei den goldreichen Galliern
Tosen erfüllen das Meer ob all der Menge des Blutes:
Denn an den Kindern des Herrn haben sie auch Frevel verübet,
Als nach Sidonien ein Phönizischer König aus Syrien
Führte die grosse Gallier Schaar. Und auch dich wird er tödten,
Dich Ravenna und wird ein Anführer sein zu dem Morde.
Wackere Indier, fürchtet euch nicht, und ihr, Aethioper:
Denn wann diese umkreist des Steinbockes Lauf um die Achse,
Und im Zwillingsgestirn der Stier die Mitte des Himmels,
Wann die Jungfrau steigt, und die Sonne ringsum mit der Stirne
Fest an die Zone sich hält und ringsum herrscht an dem Himmel:
Dann wird gewaltiger Brand aus der Luft die Erde befallen,
Mit den Gestirnen im Kampf wird neu die Natur, dass zu Grunde
Geht durch Feuer und Weh der Aethiopier Land und der Inder.
Weine auch du, o Korinth, und beweine dein traurig Verderben!
Wann die drei Schwestern die Parzen, spinnend gewundene Fäden,
Ihn der listig entrann, entgegen der Stimme am Isthmus,
Führen herbei in der Luft, bis Alle ihn mögen erblicken,
Ihn der den Felsen zerschlug ehedem mit gehärtetem Eisen:
Dann verdirbt er dein Land auch und schlägt es, so wie es bestimmt ist.
Denn ihm allein hat Gott es verliehn, auf dass er vollbringe,
Was keiner früher vermocht von den Herrschern alle zusammen.
Denn zuerst steht gewaltig er da und wird Anderen lassen
Mit der Sichel abmähn drei Häupter herab von der Wurzel,
Und so isst man das Fleisch der Eltern des unreinen Königs.
Denn allen Menschen zumal ist bestimmt der Mord und der Schrecken
Wegen der grossen Stadt und wegen des Volks der Gerechten,
Welches gerettet stets ward, das besonders die Vorsehung schützte.
Mann, unbeständig und thöricht, umgeben vom bösen Verhängniss,
Anfang der Noth für die Menschen und auch ihr gewaltiges Ende,
Da die Schöpfung beschädigt und wieder das Schicksal errettet,

Ὕβρι κακῶν, καὶ πῆμα, καὶ ἀνθρώποις μέγα τέρμα,
Τίς σε βροτῶν ἐπόθησε; τίς ἔνδοθεν οὐ χαλεπαίνει;
Ἐν σοὶ τίς βασιλεὺς σεμνὸν βίον ὤλεσε ῥιφείς;
Πάντα κακῶς διέθηκας, ὅλον τε κακὸν κατέκλυσας,
Καὶ διὰ σοῦ κόσμοιο καλαὶ πτύχες ἠλλάχθησαν.
Εἰς ἔριν ἡμετέρην τυχὸν ὕστατα ταῦτα προβάλλου·
Πῶς δὲ λέγεις, πείσω σε, καὶ, εἴ τί σε μέμφομαι, αὐδῶ;
Ἦν ποτ' ἐν ἀνθρώποις λαμπρὸν σέλας ἠελίοιο,
Σπειρομένης ἀκτῖνος ὁμοσπόνδοιο προφητῶν·
Γλῶσσα μὲν ἀνστάζουσα καλὸν πόμα πᾶσι βροτοῖσι
Φαίνετο, καὶ προΰβαινε, καὶ ἡμέρα πᾶσιν ἔτελλε.
Τοῦδ' ἕνεκα, στενόβουλε, κακῶν ἀρχηγὲ μεγίστων,
Καὶ ῥαμφὴ καὶ πένθος ἐλεύσεται ἤματι κείνῳ.
Ἀρχὴ καὶ καμάτοιο καὶ ἀνθρώποις μέγα τέρμα,
Βλαπτομένης κτίσεως καὶ σωζομένης πάλι μοίρης,
Κλῦθι πικρᾶς φήμης δυσσηχέος, ἀνδράσι πῆμα.
Ἀλλ' ὁπόταν Περσὶς γαῖ' ἀπόσχοιτο πτολέμοιο,
Λοιμοῦ τε, στοναχῆς τε, τότ' ἔσσεται ἤματι κείνῳ
Ἰουδαίων μακάρων θεῖον γένος οὐρανιώνων,
Οἳ περιναιετάουσι Θεοῦ πόλιν ἐν μεσογαίοις,
Ἄχρι δὲ καὶ Ἰόπης τεῖχος μέγα κυκλώσαντες,
Ὑψόσ' ἀείρονται ἄχρι καὶ νεφέων ἐρεβεννῶν.
Οὐκέτι συρίξει σάλπιγξ πολεμοκτόνον ἦχον,
Οὐδ' ἐπιμαινομέναις παλάμαις ἐχθροῦ διολοῦνται·
Ἀλλὰ ἐπιστήσει τε κακῶν αἰῶνι τρόπαια.
Εἷς δέ τις ἔσσεται αὖθις ἀπ' αἰθέρος ἔξοχος ἀνὴρ,
Οὗ παλάμας ἥπλωσεν ἐπὶ ξύλον πολύκαρπον
Ἑβραίων ὁ ἄριστος, ὃς ἠελίον ποτε στῆσεν,
Φωνήσας ῥήσει τε καλῇ καὶ χείλεσιν ἁγνοῖς.
Μηκέτι τείρεο θυμὸν, μὴ στήθεσσι μάχαιρα,
Θειογενὲς, πάμπλουτε, μόνον πεποθημένον ἄνθος,
Φῶς ἀγαθὸν, σεμνόν τε τέλος πεποθημένον, ἅγνον,
Ἰουδαία χαρίεσσα, καλὴ πόλις, ἔνθεος ὕμνων.
Οὐκέτι βακχεύσει [περὶ σὴν] χθόνα ποὺς ἀκάθαρτος
Ἑλλήνων, δμόθεσμον ἐνὶ στήθεσσιν ἔχων νοῦν·
Ἀλλά σε κυδάλιμοι παῖδες περιτιμήσουσι,
Καὶ γλώσσαις ἁγίαισιν ἐπιστήσονται τράπεζαν,
Παντοίαις θυσίαισι, καὶ εὐχαῖς ἐνθεοτίμοις.
Ἐκ μικρᾶς στενότητος ὅσοι καμάτους ὑπέμειναν,
Πλείονα καὶ χαρίεντα κάλ' ἀνάξουσι δίκαιοι·
Οἱ δὲ κακὴν στείλαντες ἐπ' αἰθέρα γλῶσσαν ἀθέσμως,

Voll von Frevel und Leid, und der Menschen gewaltiges Ende!
Wer hat nach dir sich gesehnt, wer zürnet dir nicht in dem Herzen?
Welcher König bei dir liess fallend ein ehrbares Leben?
Alles hast du verwirrt, überfluthet Alles mit Bösem,
Und verändert durch dich sind die herrlichen Theile der Erde.
Wirfst dieses Letzte vielleicht du uns vor zum Zank: Doch wie magst du
Sagen, dass ich dich gewinne und rede wenn Tadel ich spreche?
Unter den Menschen war einst das leuchtende Glänzen der Sonne,
Als das gemeinsame Licht der Propheten einst war ausgebreitet:
Träufelnd trefflichen Trank für die Sterblichen alle die Sprache
Da war, sie schritt voran und Allen sprosste der Tag auf.
Desshalb, Rathloser du, und Anfang entsetzlicher Uebel,
Wird auch kommen das Schwerdt und Betrübniss an jenem Tage.
Anfang der Noth für die Menschen und auch ihr gewaltiges Ende,
Da die Schöpfung beschädigt und wieder das Schicksal errettet,
Bittere Rede vernimm, misstönende, Unheil für Menschen.
Doch wann das Persische Land einst frei sein wird von dem Kriege,
Frei von Leiden und Pest, dann wird der glücklichen Juden
Göttlich Geschlecht jenes Tags sich erheben, der Himmelsbewohner,
Welche mitten im Land ringsher die Stadt Gottes bewohnen,
Und bis nach Joppe hinab mit hoher Mauer umschliessen,
Kühn aufthürmend zur Höh' und bis zu den dunkelen Wolken.
Nicht mehr wird kriegsmördrischen Ton die Trompete ausstossen,
Nicht mehr gehn sie zu Grund durch die rasenden Hände des Feindes;
Sondern es werden Trophaen in der Welt stehn über das Böse.
Aber ein trefflicher Mann wird nachher erscheinen vom Himmel,
Dessen Hände dereinst ausstreckte am fruchtbaren Holze
Von dem Hebräer-Geschlecht der Beste, der einstens die Sonne
Stehn liess und sprach mit trefflicher Rede und heiligen Lippen.
Quäle das Herz nicht mehr, nicht setze das Schwerdt auf die Brust dir,
Göttlicher Spross, überreich, du einzig begehrliche Blume,
Licht du, gut und hehr, ersehnetes Endziel und heilig,
Herrliches Jüdisches Land, schöne Stadt, begeistert durch Hymnen.
Nicht wird der unreine Fuss der Hellenen mehr in deinem Lande
Springen umher, im Herzen beseelt von dem Geist gleicher Satzung;
Sondern es werden in Ehr dich halten vortreffliche Diener,
Und sie werden den Tisch hinsetzen mit heiliger Rede,
Mit verschiedenen Opfern und Gott wohlgefälligem Beten.
Welche Gerechte das Leid einer kleinen Bedrängniss ertrugen,
Die werden Gutes viel mehr und Herrliches bringen zu Wege;
Die aber übele Red' ohne Fug zum Himmel gesendet,

Παύσονται λαλέοντες ἐναντίον ἀλλήλοισιν,
Αὐτοὺς δὲ κρύψουσιν, ἕως κόσμος ἀλλαγῇ.
Ἔσται δ' ἐκ νεφέων ὄμβρος πυρὸς αἰθομένοιο,
Κοὐκέτι καρπεύσουσι βροτοὶ στάχυν ἀγλαὸν ἐκ γῆς·
Πάντα μὲν ἄσπαρτα καὶ ἀνήροτα, ἄχρι νοῆσαι
Τὸν πρύτανιν πάντων Θεὸν ἄμβροτον αἰὲν ἐόντα
Ἀνθρώπους θνητοὺς, καὶ μηκέτι θνητὰ γεραίρειν,
Μηδὲ κύνας καὶ γῦπας, ἃ Αἴγυπτος κατέδειξε
Σεμνύνειν στομάτεσσι νέοις καὶ χείλεσι μωροῖς.
Ἑβραίων δὲ μόνων ἁγία χθὼν, πάντα τάδ' οἴσει,
Νᾶμα μελισταγέος ἀπὸ πέτρης [ἠδ' ἀπὸ πηγῆς],
Καὶ γάλα δ' ἀμβρόσιον ῥεύσει πάντεσσι δικαίοις·
Εἰς ἕνα γὰρ γενετῆρα Θεὸν μόνον ἔξοχον ὄντα
Ἤλπισαν, εὐσεβίην μεγάλην καὶ πίστιν ἔχοντες.
Ἀλλὰ τί δή μοι ταῦτα νόος σοφὸς ἐγγυαλίζει;
Ἄρτι δέ σε, τλήμων Ἀσίη, κατοδύρομαι οἰκτρῶς,
Καὶ γένος Ἰώνων, Καρῶν, Λυδῶν πολυχρύσων.
Αἲ αἲ, Σάρδεις· αἲ αἲ, καὶ πολυήρατε Τράλλις·
Αἲ αἲ, Λαοδίκεια, καλὴ πόλι· ὡς ἀπολεῖσθε
Σεισμοῖς ὀλλύμεναί τε, καὶ εἰς κόνιν ἀλλαχθεῖσαι.
Ἀσσίᾳ τῇ δνοφερῇ Λυδῶν τε πολυχρύσων
Ἀρτέμιδος σηκὸς Ἐφέσου πεσνύμενος. . .
Χάσμασι καὶ σεισμοῖσί ποθ' ἵξεται εἰς ἅλα δεινὴν
Πρηνὴς, ἠδ' ὅτε νῆας ἐπικλύζουσιν ἄελλαι.
Ὕπτια δ' οἰμώξει Ἔφεσος, κλαίουσα παρ' ὄχθαις,
Καὶ νηὸν ζητοῦσα τὸν οὐκέτι ναιετάοντα.
Καὶ τότε θυμωθεὶς Θεὸς ἄφθιτος, αἰθέρι ναίων,
Οὐρανόθεν πρηστῆρα βαλεῖ κατὰ κρατὸς ἀνάγνου.
Ἀντὶ δὲ χειμῶνος θέρος ἔσσεται ἤματι τῷδε.
Καὶ τόδε δὴ μετέπειτ' ἔσται ἀνδρεσσι βροτοῖσιν·
Ἐξολέσει γὰρ πάντας ἀναιδέας ὑψικέραυνος
Βρονταῖς ἀστεροπαῖς τε, κεραυνοῖς τε φλεγέθουσιν
Ἀνδράσι δυσμενέεσσι, καὶ ὡς ἀσεβεῖς ὀλοθρεύσει,
Ὥστε μένειν νέκυας κατὰ γῆς πλέονας ψαμάθοιο.
Ἥξει γὰρ καὶ Σμύρνα, ἐὸν κλαίουσα Λυκοῦργον,
Εἰς Ἐφέσοιο πύλας, καὶ αὐτὴ μᾶλλον ὀλεῖται.
Κύμη δ' ἡ μωρὰ, σὺν νάμασι τοῖς θεοπνεύστοις,
Ἐν παλάμῃσι θεῶν, ἀνδρῶν ἀδίκων καὶ ἀθέσμων,
Ῥιφεῖσ', οὐκέτι τόσσον ἐς αἰθέρα χάρμα προδώσει·
Ἀλλὰ μενεῖ νεκρὰ ἐν νάμασι Κυμαίοισι.
Καὶ τότ' ἀνέξουσιν ὁμοῦ κακότητα μένοντες.

Die hören auf in Zwietracht zu reden gegen einander,
Werden sich selbst verbergen bis einst die Welt sich geändert.
Aber ein Regen wird kommen von brennendem Feur aus den Wolken;
Nicht mehr ärndten die Menschen vom Felde die treffliche Aehre;
Nirgends wird mehr gesät noch gepflügt, bis die sterblichen Menschen
Schaun den unsterblichen Gott, den Herrn über sämmtliche Wesen,
Ihn der in Ewigkeit ist, bis nicht mehr das Sterbliche altert,
Weder die Hunde noch Geyr, wovon der Aegyptier lehret
Mit jungem Mund und thörichten Lippen sie zu verehren.
Nur das heilige Land der Hebräer wird alles diess bringen,
Nass vom honigträufelnden Felsen und von der Quelle,
Und auch ambrosische Milch wird strömen für alle Gerechten:
Denn sie haben auf Gott, den einzigen grossen Erzeuger,
Ihre Hoffnung gesetzt in Frömmigkeit und voller Treue.
Aber warum behändiget diess der kluge Verstand mir?
Jetzt aber will, armes Asien, dich ich bitter beklagen,
Auch der Joner Geschlecht, der Karier und goldreichen Lyder.
Weh, weh, Sardes, weh, weh, und du, o liebliches Trallis!
Weh, weh, Laodicäa, du prächtige Stadt, durch Erdbeben
Wie geht ihr verwüstet zu Grund und zu Staube gewandelt!
Assis dem dunkelen und dem Land der goldreichen Lyder
Wird der Artemis Haus, das in Ephesus herrlich erbaut ist,
Durch Erschüttrung und Beben dereinst in die schreckliche Meerfluth
Stürtzen hinab, so wie wenn der Sturm die Schiffe umspület.
Und das gestürzte Ephesus klagt und weinet am Ufer,
Sucht seinen Tempel noch auf, in dem man fürder nicht wohnet.
Und der ewige Gott, der himmlische, wird dann im Zorne
Von dem Himmel den Blitz gen die Kraft des Unheiligen schleudern.
Und statt Winter wird sein in jenen Tagen der Sommer.
Und diess wird in der Folge geschehn den sterblichen Menschen;
Denn der Donnrer im Himmel vernichtet die Ruchlosen sämmtlich
Durch seinen Donner und Blitz und mit den Flammen des Blitzes
Für die feindlichen Männer, und wird sie als böse vernichten,
Dass zahlreicher wie Sand die Leichen daliegen auf Erden.
Kommen wird Smyrna auch, beweinend seinen Lykurgus,
Zu des Ephesus Thoren, und selbst um so mehr noch zu Grund gehn.
Aber auch Cumä die Thörinn mit ihren begeisterten Quellen,
In der Götter Hand und der Menschen, die bös und gesetzlos,
Sinket dahin und wird in die Luft kein Frohlocken mehr schicken;
Sondern als Leiche wird sie an Cumas Wassern da liegen.
Und zugleich werden dann auch die Bleibenden Böses erdulden.

Εἰδήσει σημεῖον ἔχων, ἀνθ᾽ ὧν ἐμόγησε,
Κυμαίων δῆμος χαλεπὸς καὶ φῦλον ἀηδές.
Εἶθ᾽ ὅταν ἔξουσι κακὴν χθόνα τεφρωθεῖσαν,
Λέσβος ἐπ᾽ Ἠριδανὸν αἰώνιον ἐξαπολεῖται.
Αἲ αἲ σοι, Κέρκυρα, καλὴ πόλι, παύεο κώμου.
Καὶ, Ἱεράπολι, γαῖα μόνη πλούτῳ μιγεῖσα,
Ἔξεις, ὃν πεπόθηκας ἔχειν, χῶρον πολύδακρυν,
Εἰς γῆν χωσαμένη παρὰ χεύμασι Θερμώδοντος.
Πετροφυὴς Τρίπολίς τε, παρ᾽ ὕδασι Μαιάνδροιο,
Κύμασι νυκτερινοῖσιν ὑπ᾽ ἠόνι πληρωθεῖσα,
Ἄρδην ἐξολέσει σε Θεοῦ ποθὴ ἥ τε πρόνοια.
Μή μ᾽ ἐθέλουσαν ἑλεῖν Φοίβου τὴν γείτονα χώραν·
Μίλητον τρυφερὴν ἀπολεῖ πρηστὴρ ποτ᾽ ἄνωθεν,
Ἀνθ᾽ ὧν εἵλετο τὴν Φοίβου δολόεσσαν ἀοιδὴν,
Τήν τε σοφὴν ἀνδρῶν μελέτην καὶ σώφρονα βουλήν.
Ἴλαθι, παγγενέτωρ, τρυφερῇ χθονὶ τῇ πολυκάρπῳ
Ἰουδαίᾳ μεγάλῃ, ἵνα σὰς γνώμας ἐπίδωμεν.
Ταύτην γὰρ πρώτην ἔγνως, Θεὸς, ἐν χαρίτεσσιν,
Εἰς τὸ δοκεῖν προχάρισμα τεὸν πάντεσσι βροτοῖσιν
Εἶναι, καὶ προσέχειν, οἷον Θεὸς ἐγγυάλιξεν.
Ἱμείρω τριτάλαινα τὰ Θρῃκῶν ἔργα ἰδέσθαι,
Καὶ τεῖχος διθάλασσον ὑπ᾽ ἀέρος ἐν κονίῃσι
Συρόμενον ποταμηδὸν ἐπ᾽ ἰχθυόεντι κολύμβῳ.
Ἑλλήσποντε τάλαν, ζεύξει ποτέ σ᾽ Ἀσσυρίων παῖς·
Εἰς σὲ μάχῃ Θρῃκῶν, καί σου σθένος ἐξαλαπάξει.
Τήν τε Μακηδονίην βασιλεὺς Αἰγύπτιος αἱρεῖ,
Καὶ κλίμα βαρβαρικὸν ῥίψει σθένος ἡγεμονήων.
Λυδοὶ καὶ Γαλάται, Παμφύλιοι ἐν Πισίδῃσι
Πανδημεὶ κρατέουσι κακὴν ἔριν ὁπλισθέντες.
Ἰταλίη τριτάλαινα, μενεῖς πανέρημος, ἄκλαυστος,
Ἐν γαίῃ θαλερῇ, ὀλοὸν δάκος ἐξαπολέσθαι.
Ἔσται δ᾽ αἰθέριον [ἀνὰ] οὐρανὸν εὐρὺν ὕπερθεν
Βροντηδὸν κελάδημα, Θεοῦ φωνὴν ἐπακοῦσαι.
Ἡλίου δ᾽ αὐτοῦ φλόγες ἄφθιτοι οὐκέτ᾽ ἔσονται,
Οὐδὲ σεληναίης λαμπρὸν φάος ἔσσεται αὖθις
Ὑστατίῳ καιρῷ, ὁπόταν Θεὸς ἡγεμονεύσῃ.
Πάντα μελαιναίη, σκοτίη δ᾽ ἔσται κατὰ γαῖαν,
Καὶ τυφλοὶ μέροπες, θῆρές τε κακοὶ, καὶ ὄϊζυς
Ἔσσεται ἦμαρ ἐκεῖνο χρόνον πολὺν, ὥστε νοῆσαι
Αὐτὸν ἄνακτα Θεὸν πανεπίσκοπον οὐρανόθι πρό.
Αὐτὸς δυσμενέας δ᾽ ἄνδρας τότε οὐκ ἐλεήσει,

An einem Zeichen wird es erfahren weshalb es gelitten,
Cumäs bösgeartetes Volk, und der widrige Volksstamm.
Drauf wann alsdann das schändliche Land mit Asche bedeckt ist,
Dann wird Lesbos im Eridanus auf immer zu Grund gehn.
Wehe dir, weh, schöne Stadt, Corcyra, lass nach mit Gelagen!
Und Hierapolis, Land das allein mit Reichthum verbunden,
Was du zu haben begehrt, ein bethränetes Land, wirst du haben,
Aufgeschüttet zum Land an den Strömungen des Thermodon.
Steiniges Tripolis auch, an Mäanders Wassern gelegen,
Das mit dunkeler Fluth erfüllet da liegt am Gestade,
Gottes Willen und Vorsehung wird dich gänzlich vernichten.
Nicht dass ich mag das benachbarte Land des Phöbus vernichten:
Einst wird das üppge Milet der Blitzstrahl von oben zerstören,
Weil es den Truggesang des Phöbus sich hatte erwählet,
Und der Menschen weise Fürsorg' und verständigen Rathschlag.
Schone, o Vater des All, des grossen und fruchtbaren Judas
Ueppiges Land, auf dass wir deine Satzung vollbringen.
Denn dieses hast du zuerst erkannt, Gott, in deiner Gnade,
Dass im Voraus als Gnade von dir allen Menschen es scheine,
Dass einen Vorzug es habe, so wie Gott dieses bestimmt hat.
Dreimal Unglückliche ich will schauen die Werke der Thraker,
Und die zweimeerige Mauer, in stauberfülleten Lüften,
Fortgeführt wie ein Strom sich zieht an dem fischreichen Wasser.
Armer Hellespont, dich wird einst gürten ein Kind der Assyrer;
Dir gilt die Thrazische Schlacht und wird deiner Kraft dich berauben.
Auch Mazedonien wird ein Aegyptischer König verwüsten,
Und ein barbarisches Land wird stürtzen die Stärke der Herrscher.
Lydier und Galater und Pamphyler, vermischt mit Pisidern,
Siegen im übelen Streit, bewaffnet, mit sämmtlichem Volke.
Armes Italien, du bleibst einsam und unbeweinet
In dem blühenden Land, zum Tod der verderblichen Schlange.
Aber hoch in der Luft, am weiten Himmel da droben,
Wird man ein Donnergerolle, die göttliche Stimme, vernehmen.
Aber es werden nicht sein mehr der Sonne ewige Flammen,
Forthin leuchten nicht mehr des Mondes glänzende Leuchte
An dem Ende der Zeit, wann Gott seine Herrschaft ausübet.
Alles in Dunkel verhüllt, und Nacht wird sein auf der Erde;
Menschen geblendet, die Thiere in Wuth, und Schmerzensgejammer
Wird jenes Tages sein lange Zeit, so dass man erblicket
Ihn den Herrn, Gott selbst der Alles erschauet vom Himmel.
Kein Erbarmen wird er mit den feindlichen Menschen dann haben,

Ἀρνῶν, ἠδ' οἴων, μόσχων τ' ἀγέλας ἐριμύκων
Ἐθυσιάζοντας, μόσχων μεγάλων κεροχρύσων,
Ἀψύχοις θ' Ἑρμαῖς καὶ τοῖς λιθίνοισι θεοῖσιν.
Ἡγείσθω δὲ θέμις σοφίης καὶ δόξα δικαίων·
Μήποτε θυμωθεὶς Θεὸς ἄφθιτος ἐξαπολέσσῃ
Πᾶν γένος ἀνθρώπων βίοτον καὶ φῦλον ἀναιδὲς,
Λεῖ στέργειν γενετῆρα Θεὸν, σοφὸν, αἰὲν ἐόντα.
Ἔσσεται ὑστατίῳ καιρῷ περὶ τέρμα σελήνης
Κοσμομανὴς πόλεμος καὶ ἐπίκλοπος ἐν δολότητι.
Ἥξει δ' ἐκ περάτων γαίης μητροκτόνος ἀνὴρ,
Φεύγων, ἠδὲ νόῳ ὀξύστομα μερμηρίζων,
Ὃς πᾶσαν γαῖαν καθελεῖ, καὶ πάντα κρατήσει,
Πάντων τ' ἀνθρώπων φρονιμώτερα πάντα νοήσει·
Ἧς χάριν ὤλετό τ' αὐτὸς, ἑλεῖ ταύτην παραχρῆμα.
Ἄνδρας τ' ἐξολέσει πολλοὺς, μεγάλους τε τυράννους,
Πάντας τ' ἐμπρήσει, ὡς δήποτε ἄλλος ἐποίει,
Τοὺς δ' αὖ πεπτηῶτας ἀνορθώσει διὰ ζῆλον.
Ἔσται δ' ἐκ δυσμῶν πόλεμος πολὺς ἀνθρώποισι,
Ῥεύσει δ' αἵματος ὄχθος ἕως ποταμῶν βαθυδίνων.
Τοῖς τε Μακηδονίης στάζει χόλος ἐν πεδίοισι,
Συμμαχίην δῶ δ' ἐκ δυσμῶν, βασιλεῖ δὲ ὄλεθρον.
Καὶ τότε χειμερίῃ πνοιὴ πνεύσει κατὰ γαῖαν,
Καὶ πεδίον πολέμοιο κακοῦ πλησθήσεται αὖθις.
Πῦρ γὰρ ἀπ' οὐρανίων δαπέδων βρέξει μερόπεσσι,
Πῦρ καὶ αἷμα, ὕδωρ, πρηστὴρ, γνόφος, οὐρανίη νὺξ,
Καὶ φθίσις ἐν πολέμῳ, καὶ ἐπὶ σφαγῇσιν ὁμίχλη,
Πάντας ὁμοῦ τ' ὀλέσει βασιλεῖς, καὶ τοὺς τότ' ἀρίστους.
Εἶθ' οὕτως πολέμοιο πεπαύσεται οἰκτρὸς ὄλεθρος.
Κοὐκέτι τις ξίφεσι πτολεμίξεται, οὐδὲ σιδήρῳ,
Οὐδ' αὐτοῖς βελέεσσιν, ἃ μὴ θέμις ἔσσεται αὖθις.
Εἰρήνην δ' ἕξει λαὸς σοφὸς, ὅσπερ ἐλείφθη,
Πειραθεὶς κακότητος, ἵν' ὕστερον εὐφρανθείη.
Μητρολέται, παύσασθε θράσους τόλμης τε κακούργου,
Οἳ τὸ πάλαι παίδων κοίτην ἐπορίζετ' ἀνάγνως,
Καὶ τέγεσι πόρνας ἐστήσατε τὰς πάλαι ἁγνὰς,
Ὑβρεσι, καὶ κολάσει, κἀσχημοσύνῃ πολυμόχθῳ.
Ἐν σοὶ γὰρ μήτηρ τέκνῳ ἀθέμιστος ἐμίγη,
Καὶ θυγάτηρ γενετῆρι ἑῷ συζεύξατο νύμφη·
Ἐν σοὶ καὶ βασιλεῖς στόμα δύσμορον ἐξεμίηναν,
Ἐν σοὶ καὶ κτηνῶν εὖρον κοίτην κακοὶ ἄνδρες.
Σίγησον, πανόδυρτε κακὴ πόλι, κῶμον ἔχουσα·

Jenen, die Widder und Schafe und Schaaren laut brüllender Kälber
Und mit vergoldetem Horn grosse Kälber als Opfer geschlachtet
Für die leblosen Hermen und für die steinernen Götzen.
Herrschen soll aber der Weisheit Gesetz und der Ruhm der Gerechten;
Dass nicht der ewige Gott im Zorne Vernichtung bereite
Jeglichem Menschen-Geschlecht, dem Leben, und bösen Geschlechte,
Muss man Gott, den Erzeuger lieben, den ewigen, weisen.
An dem Ende der Zeit und gegen die Gränze des Mondes
Wird ein Krieg durchwüthen die Welt in Tücke und Arglist.
Und von den Gränzen der Erde heran wird ein Mörder der Mutter
Kommen als flüchtiger Mann und Böses aussinnen im Herzen,
Welcher die Erd' insgesammt verwüstet und Alles bewältigt,
Und welcher Alles erkennt, weit klüger als sämmtliche Menschen.
Um die er selber verdarb, die wird alsbald er verderben.
Und viel Männer richtet zu Grund er, und grosse Tyrannen,
Und Alles steckt er in Brand, wie nie ein Andrer gethan hat;
Die aber richtet er auf, die wiederum fielen, mit Eifer.
Aber vom Untergang wird viel Krieg entstehen den Menschen,
Und ein Blutstrom wird zu den tiefen Flüssen hinströmen.
Und es wird enden der Zorn dann in Macedoniens Feldern,
Und ein Bündniss entsteht und vernichtet den König vom Westen.
Und ein winterlich Wehn wird dann die Erde durchstürmen,
Und wiederum wird erfüllet das Feld mit schrecklichem Kriege.
Denn von dem Himmelsgefild wird regnen Feur auf die Menschen,
Feuer und Blut und Wasser und Blitz, und gewaltiges Dunkel,
Und Verderben im Krieg und Dunkelheit bei dem Gemetzel
Wird sie vernichten zumal die Könige dann mit den Besten.
So wird enden nachher des Krieges schweres Verderben.
Und nicht führt mit Schwerdtern man Krieg mehr noch mit dem Eisen,
Auch mit Geschossen nicht mehr, was fürderhin nicht mehr erlaubt ist.
Und das verständige Volk, was am Leben verblieb, wird dann Frieden
Haben, nachdem es das Uebel erprobt, um sich später zu freuen.
Muttermörder, hört auf mit Wagniss und böslicher Kühnheit,
Die ihr euch längst in Schande verschafft der Knaben Beilager,
Und in Gemächern zu Huren gemacht die ehedem reinen,
Frevelhaft und mit Gewalt und durch unziemliches Mühsal.
Denn durch dich hat sich schändlich genaht die Mutter dem Kinde,
Und die Tochter hat sich als Braut mit dem Vater verbunden;
Könige haben durch dich den unseligen Mund sich beflecket;
Durch dich fanden abscheuliche Männer der Thiere Beilager.
Schweig, du erbärmliche Stadt, du schlechte, die schwelgt in Gelagen:

Οὐκέτι γὰρ παρὰ σεῖο τὸ τῆς φιλοθρέμμονος ὕλης
Παρθενικαὶ κοῦραι πῦρ ἔνθεον εὑρήσουσιν·
Ἔσβεσται παρὰ σεῖο πάλαι πεποθημένος οἶκος,
Ἡνίκα δεύτερον εἶδον ἐγὼ ῥιπτούμενον οἶκον
Πρηνηδὸν, πυρὶ τεγγόμενον διὰ χειρὸς ἀνάγνου,
Οἶκον ἀεὶ θάλλοντα, Θεοῦ τηρήμονα ναὸν,
Ἐξ ἁγίων γεγαῶτα, καὶ ἄφθιτον αἰὲν ἐόντα,
Ἐκ ψυχῆς ἐλπιζόμενον καὶ σώματος αὐτοῦ.
Οὐ γὰρ ἀκηδέστως αἰνεῖ Θεὸν ἐξ ἀφανοῦς γῆς,
Οὐδὲ πέτρην ποίησε σοφὸς τέκτων παρὰ τούτοις,
Οὐ χρυσὸν κόσμου ἀπάτην ψυχῶν τ' ἐσεβάσθη·
Ἀλλὰ μέγαν γενετῆρα Θεὸν πάντων θεοπνεύστων
Ἐν θυσίαις ἐγέραιρον καὶ ἁγίαις ἑκατόμβαις.
Νῦν δέ τις ἐξαναβὰς ἀφανὴς βασιλεὺς καὶ ἄναγνος
Ταύτην ἐῤῥίψεν καὶ ἀνοικοδόμητον ἀφῆκε,
Σὺν πλήθει μεγάλῳ καὶ ἀνδράσι κυδαλίμοισιν.
Αὐτὸς δ' ὤλετο χέρσον ἐπ' ἀθανάτην ἐπιβὰς γῆν·
Κοὐκέτι σῆμα τοιοῦτον ἐπ' ἀνθρώποισι τέτυκτο,
Ὥστε δοκεῖν ἑτέρους μεγάλην πόλιν ἐξαλαπάξαι.
Ἦλθε γὰρ οὐρανίων νώτων ἀνὴρ μακαρίτης,
Σκῆπτρον ἔχων ἐν χερσὶν, ὅ οἱ Θεὸς ἐγγυάλιξεν,
Καὶ πάντων ἐκράτησε καλῶς, πᾶσί τ' ἀπέδωκε
Τοῖς ἀγαθοῖς τὸν πλοῦτον, ὃν οἱ πρότεροι λάβον ἄνδρες.
Πάσας δ' ἐκ βάθρων εἶλεν πόλεις ἐν πυρὶ πολλῷ,
Καὶ δήμους ἔφλεξε βροτῶν τῶν πρόσθε κακούργων,
Καὶ πόλιν, ἣν ἐπόθησε Θεὸς, ταύτην ἐποίησε
Φαιδροτέραν ἄστρων τε καὶ ἠλίου ἠδὲ σελήνης,
Καὶ κόσμον κατέθηκ', ἅγιόν τε [νεὼν] ἐποίησεν
Ἔνσαρκον, καλὸν, περικαλλέα, ἠδ' ἔπλασε
Πολλοῖς ἐν σταδίοισι μέγαν καὶ ἀπείρονα πύργον
Αὐτῶν ἁπτόμενον νεφέων, καὶ πᾶσιν ὁρατὸν,
Ὥστε βλέπειν πάντας πιστοὺς πάντας τε δικαίους
Δόξαν ἀϊδίοιο Θεοῦ, πεποθημένον εἶδος.
Ἀντολίαι δύσιές τε Θεοῦ κλέος ἐξύμνησαν.
Οὐκέτι γὰρ πέλεται δειλοῖσι βροτοῖσι τὰ δεινὰ,
Οὐδὲ γαμοκλοπίαι, καὶ παίδων κύπρις ἄθεσμος,
Οὐ φόνος, οὐδὲ κυδοιμὸς, ἔρις δ' ἐν πᾶσι δικαία.
Ὕστατος ἔσθ' ἁγίων καιρὸς, ὅτε ταῦτα περαίνει
Θεὸς ὑψιβρεμέτης, κτίσιης ναοῖο μεγίστου.
Αἲ αἵ σοι, Βαβυλὼν χρυσόθρονε, χρυσοπέδιλε,
Πουλυετὴς βασίλεια, μόνη κόσμοιο κρατοῦσα,

Denn nicht mehr werden finden bei dir jungfräuliche Mädchen
Göttliches Feuer des Walds, der so gerne die Flamme ernähret;
Längst ist bei dir vertilget das Haus, nach dem man sich sehnte,
Als ich zum zweitenmal sah wie jäh das Gebäude einstürtzte,
Ueberfluthet mit Feuer, geschürt von unheiligen Händen,
Das stets blühende Haus, des Herrn bewahrender Tempel,
Welchen die Heiligen bauten, und welche stets bleibend und ewig
Man von Herzen gehofft und mit dem eigenen Leibe.
Denn nicht nachlässig preist er den Gott aus unscheinbarer Erde,
Bildete nicht einen Stein dazu der weise Baumeister,
Schätzte auch hoch nicht das Gold, den Trug für die Welt und die Seelen:
Sondern der grosse Erzeuger von Allem, was göttlichen Odems,
Gott ward durch Opfer verehrt und heilige Hekatomben.
Nun aber trat hervor ein König unscheinbar und unrein,
Dieser stürzte ihn hin und liess ihn unaufgebaut liegen,
Mit einer Menge vereint und mit ausgezeichneten Männern.
Aber er selbst ging zu Grund, das unsterbliche Festland betretend;
Auch nicht ward den Menschen je mehr ein ähnliches Zeichen,
Dass noch Andern es einfiel die grosse Stadt zu zerstören.
Denn vom himmlischen Lande herab ein glückseliger Mann kam,
In den Händen er hielt ein Skepter, das Gott ihm behändigt,
Und über Alle gebot er mit Ruhm, und allen den Guten
Gab er den Reichthum zurück, welchen frühere Männer genommen.
Sämmtliche Städte zerstörte mit vielem Feur er von Grund aus,
Und verbrannte die Sitze der Menschen, die Böses verübet
Ehmals, aber die Stadt, welche Gott wohlgefiel, diese macht' er
Glänzender als die Gestirn', als die Sonne und als wie der Mond ist,
Zierte sie aus mit Glanz, und schuf einen heiligen Tempel,
Körperlich sichtbar und schön und prachtvoll, auch formt' einen Thurm er
Viele Stadien lang und gross und gar unermesslich,
Welcher die Wolken berührt' und von Allen war zu erblicken,
So dass alle die treu und gerecht nun konnten anschauen
Gottes des ewigen Glanz und seine ersehnte Gestaltung.
Aufgang und Niedergang hat die Herrlichkeit Gottes gepriesen.
Denn nichts Schlimmes wird mehr den armseligen Menschen zustossen,
Auch ist kein Ehebruch mehr und schändliche Liebe der Knaben,
Nicht mehr Mord und Tumult, nur gerechtes Eifern ist Allen.
Endlich erscheinet die Zeit der Heiligen, wo dies vollführet
Der hochdonnernde Gott, der den mächtigen Tempel gegründet.
Wehe dir, Babylon, weh, goldthronend, mit goldenen Sohlen,
Du vieljähriges Reich, das allein beherrschte die Welt einst,

Ἡ τὸ πάλαι μεγάλη καὶ πάμπολις, οὐκέτι κείσῃ
Οὔρεσιν ἐν χρυσέοις καὶ νάμασιν Εὐφρήτοιο·
Στρωθήσῃ σεισμοῖο χρόνῳ. Πάρθοι δέ σε δεινοὶ
Πάντα κρατεῖν ἐποίησαν. Ἔχε στόμ᾽ ἄφιμον, ἀνάγνη
Χαλδαίων γενεή· μήτ᾽ εἴρεο, μηδὲ μερίμνα,
Πῶς Περσῶν ἄρξεις, ἢ πῶς Μήδων τε κρατήσεις·
Εἵνεκα γὰρ τῆς σῆς ἀρχῆς, ἧς ἔσχες, ὅμηρα
Εἰς Ῥώμην πέμψασα, καὶ Ἀσσίδι θητεύουσα,
Τοιγάρτοι καὐτὴ βασιλὶς φρονέουσα, εἰς κρίσιν
Ἀττικῶν ἥξεις, ὧν εἵνεκα λύτρα πέπομφας·
Λώσεις δ᾽ ἀντὶ λόγων σκολιῶν πικρὸν χόλον ἐχθροῖς.
Ἔσται δ᾽ ὑστατίῳ καιρῷ ξηρός ποτε πόντος,
Κοὐκέτι πλωτεύσουσιν ἐς Ἰταλίην ποτὲ νῆες,
Ἀσσὶς δ᾽ ἡ μεγάλη τότε πάμφορος ἔσσεται ὕδωρ,
Καὶ Κρήτης πεδίον. Κύπρος δ᾽ ἕξει μέγα πῆμα,
Καὶ Πάφος ἀΐξει δεινὸν μόρον, ὥστε νοῆσαι
Καὶ Σαλαμῖνα πόλιν μεγάλην μέγα πῆμα παθοῦσαν·
Νῦν μὲν χέρσος, ἄκαρπος ἐπ᾽ ἠόνος ἔσσεται αὖθις.
Ἀκρὶς δ᾽ οὐκ ὀλίγη χθόνα Κύπριον ἐξολοθρεύσει.
Εἰς Τύρον, αἰνόμοροι μέροπες, κλαύσεσθε βλέποντες.
Φοινίκη, δεινός σε μένει χόλος, ἄχρι πεσεῖν σε
Πτῶμα κακὸν, Σειρῆνες ὅπως κλαύσωνται ἀληθῶς.
Ἔσται δ᾽ ἐν πέμπτῃ γενεῇ, ὅτ᾽ ἐπαύσατ᾽ ὄλεθρος
Αἰγύπτου, βασιλῆες ὅταν μιχθῶσιν ἀηδεῖς,
Παμφύλων γενεαὶ κεἰς Αἴγυπτον καθεδοῦνται,
Ἔν τε Μακηδονίῃ καὶ ἐν Ἀσσίδι καὶ Λυκίοισι
Κοσμοβαρὴς πόλεμος, πολυαίματος ἐν κονίῃσιν,
Ὃν παύσει Ῥώμης βασιλεὺς δυσμῶν τε δυνάσται.
Χειμερίη ὁπόταν ῥιπὴ στάξῃ χιονώδης,
Πηγνυμένου μεγάλου ποταμοῦ λιμνῶν τε μεγίστων,
Εὐθὺς βάρβαρος ὄχλος ἐς Ἀσσίδα γαῖαν ὁδεύσει,
Καὶ Θρᾳκῶν ὀλέσει δεινὸν γένος, ὡς ἀλαπαδνόν.
Καὶ τότε θυμοβόροι μέροπες κατέδουσι γονῆας,
Λιμῷ τειρόμενοι, καὶ ἐδέσματα λαιφάσσονται.
Πάντων δ᾽ ἐκ μελάθρων θῆρες κατέδουσι τράπεζαν,
Αὐτοί τ᾽, οἰωνοί τε βροτοὺς κατέδουσιν ἅπαντας.
Ὠκεανός τε κακῶν πλησθήσεται ἐκ ποταμοῖο
Αἱματόεις, σάρκας τε καὶ αἵματα τῶν ἀνοήτων.
Εἶθ᾽ οὕτως ὀλιγηπελίη ἔσεται κατὰ γαῖαν,
Ὥστε νοεῖν ἀνδρῶν τ᾽ ἀριθμὸν, μέτρον τε γυναικῶν.
Μυρία δ᾽ οἰμώξει δεινὴ γενεὴ κατὰ τέρμα

Das ehedem so gross und Allstadt war, nicht mehr wirst du
Lagern auf goldenen Bergen und an den Wassern des Euphrat;
Beim Erdbeben sinkst du dahin. Die schrecklichen Parther
Haben bewirkt, dass du Alles besiegt hast. Du aber unreines
Volk der Chaldäer den Mund halt', und sprich nicht und sei nicht in Sorge,
Wie du die Perser regierst, oder wie du die Meder bewältigst;
Denn wegen deiner Herrschaft, die du besassest, hast Geiseln
Du gesendet nach Rom und warest Asien dienstbar:
Drum wirst auch du, die verständige Königin zu dem Gerichte
Selbst der Attiker kommen, um welche du Lösegeld sandtest;
Gibst auch bitteren Zorn für tückische Worte den Feinden.
Aber am Ende der Zeit wird einst völlig trocken das Meer sein,
Schiffe werden dereinst nicht mehr nach Italien fahren;
Asien aber wird dann, das fruchtbare, grosse, ein Meer sein,
Und das Cretensische Feld. Aber Cypern erfährt grosses Leiden;
Auch wird ein schreckliches Loos über Paphos kommen, auch wird man
Salamis schaun, die gewaltige Stadt, viel Leiden erdulden;
Jetzt liegt sie unbebaut und unfruchtbar forthin am Gestade.
Aber das Cyprische Land werden Heuschrecken-Schaaren verwüsten.
Wenn auf Tyrus ihr schaut, höchst unglückliche Menschen, so weint ihr.
Deiner Phönizien harrt schwer Zürnen, bis dass du dahin sinkst,
Uebelen Falles, sodass die Sirenen ganz aufrichtig weinen.
Aber im fünften Geschlecht wirds geschehn, wo aufhört das Verderben
In Aegypten, alsdann wann sich schändliche Herrscher verbinden,
Und aller Stämme Geschlechter sich lagern im Lande Aegypten,
In Macedonien und in Asien und unter den Lykern
Ein verderblicher Krieg haust, blutig im Staube sich wälzend,
Welchen ein König von Rom und die Herrscher des Abendlands dämpfen.
Wann im Winter der Sturm mit Schnee vermischet daherfährt,
Wann der gewaltige Strom und die grössten Seen erstarren,
Dann wird sofort ein fremdländischer Tross in Asiens Land ziehn
Und den gewaltigen Stamm der Thraker wie Schwächlinge tödten.
Und dann werden unglückliche Menschen die Eltern verzehren,
Und von Hunger gequält die Bänder der Knochen verschlucken.
Und wilde Thiere verzehren ihr Mahl in allen Gemächern,
Sie und die Raubvögel werden die Sterblichen alle aufzehren.
Und der Ocean wird durch den Fluss an Frevlern sich füllen,
Blutigroth vom Fleisch und Blute der thörichten Menschen.
So wird darauf eine kärgliche Rastzeit entstehn anf der Erde,
Dass man erfährt die Zahl der Männer und Anzahl der Frauen.
Aber ein starkes Geschlecht wird gewaltig wehklagen am Ende,

Ἡελίου δύνοντος, ἵν᾽ ἔμπαλι μηκέτ᾽ ἀνέλθῃ,
Ὠκεανοῦ μείνας ἵν᾽ ἐφ᾽ ὕδασι βαπτισθείη·
Πολλῶν γάρ μερόπων εἶδεν κακότητας ἀνάγνους.
Ἔσται δὲ σκοτόμαινα περὶ μέγαν οὐρανὸν αὐτὸν,
Ἀχλὺς δ᾽ οὐκ ὀλίγη κόσμου πτύχας ἀμφικαλύψει.
Δεύτερον αὐτὰρ ἔπειτα Θεοῦ φάος ἡγεμονεύσει
Ἀνδράσι τοῖς ἀγαθοῖσιν, ὅσοι Θεὸν ἐξύμνησαν.
Ἶσι, θεὰ τριτάλαινα, μενεῖς δ᾽ ἐπὶ χεύμασι Νείλου
Μούνη, μαινὰς ἄτακτος, ἐπὶ ψαμάθοις Ἀχέροντος,
Κοὐκέτι σου μνεία γε μενεῖ κατὰ γαῖαν ἅπασαν.
Καὶ σὺ, Σέραπι, λίθοις ἐπικείμενε, πολλὰ μογήσεις·
Κείσῃ πτῶμα μέγιστον ἐν Αἰγύπτῳ τριταλαίνῃ.
Ὅσσοι δ᾽ Αἰγύπτου πόθον ἤγαγον εἰς σὲ, ἅπαντες
Κλαύσονταί σε κακῶς· νοῦν [δ᾽] ἄφθιτον ἐν φρεσὶ θέντες,
Γνώσονταί σε τὸ μηδὲν, ὅσοι Θεὸν ἐξύμνησαν.
Καί τις ἐρεῖ τῶν ἱερέων [λινόστολος] ἀνὴρ,
Δεῦτε Θεοῦ τέμενος καλὸν στήσωμεν ἀληθές·
Δεῦτε, τὸν ἐκ προγόνων δεινὸν νόμον ἀλλάξωμεν,
Τοῦ χάριν ἢ λιθίνοις ἢ ὀστρακίνοισι Θεοῖσι
Πομπὰς καὶ τελετὰς ποιούμενοι οὐκ ἐνόησαν.
Στρέψωμεν ψυχὰς, Θεὸν ἄφθιτον ἐξυμνοῦντες,
Αὐτὸν τὸν γενετῆρα, τὸν ἀΐδιον γεγαῶτα,
Τὸν πρύτανιν πάντων, τὸν ἀληθέα, τὸν βασιλῆα,
Ψυχοτρόφον γενετῆρα, Θεὸν μέγαν, αἰὲν ἐόντα.
Καὶ τότ᾽ ἐν Αἰγύπτῳ ναὸς μέγας ἔσσεται ἁγνὸς,
Κεἰς αὐτὸν θυσίας οἴσει λαὸς θεότευκτος.
Κείνοισι δώσει Θεὸς ἀφθίτως βιοτεύειν.
Ἀλλ᾽ ὅταν ἐκπρολιπόντες ἀναιδέα φῦλα Τριβαλλῶν
Αἰθίοπες μείνωσ᾽ Αἴγυπτον ἠήν τε ἀροῦσθαι,
Ἄρξονται κακότητος, ἵν᾽ ὕστερα πάντα γένηται.
Νηὸν γὰρ καθελοῦσι μέγαν Αἰγυπτιάδος γῆς·
Ἐν δὲ Θεὸς βρέξει κατὰ γῆς δεινὸν χόλον αὐτοῖς,
Ὥστ᾽ ὀλέσαι πάντας τε κακοὺς πάντας τ᾽ ἀνόμους τε.
Κοὐκέτι δὴ φειδώ τίς γ᾽ ἔσσεται ἐν χθονὶ κείνῃ,
Ἀνθ᾽ ὧν οὐκ ἐφύλαξαν ὅ μιν Θεὸς ἐγγυάλιξεν.
Ἡελίου φαέθοντος ἐν ἀστράσιν εἶδον ἀπειλὴν,
Ἠδὲ σεληναίης δεινὸν χόλον ἐν στεροπῇσιν·
Ἄστρα μάχην ὤδινε· Θεὸς δ᾽ ἐπέτρεψε μάχεσθαι.
Ἀντὶ γὰρ ἠελίου μακραὶ φλόγες ἐστασίαζον·
Φωσφόρος ἔσχε μάχην ἐπιβὰς ἐς νῶτα λέοντος·
Ἡ δὲ σεληναίης δίκερως ἠλλάξατο ἴτυς.

Da wo die Sonne sich neigt, auf dass sie nicht wieder aufgehe,
Und unters Wasser getaucht im Ocean dorten verbleibe:
Denn viele Menschen hat sie geschaut in unreiner Verderbtheit.
Aber stockfinstere Nacht wird den grossen Himmel umfangen,
Und die Falten der Welt nicht geringer Nebel einhüllen.
Doch wird das göttliche Licht nachher auch wieder regieren
Ueber die trefflichen Menschen, die Gott Loblieder gesungen.
Isis, unglückliche Göttin, allein an den Wassern des Nilstroms,
An des Acherons Sand, regellose Mänade, verbleibst du,
Und das Andenken an dich auf der ganzen Erde bleibt nicht mehr.
Auch du, Serapis, auf Steinen dasitzend, wirst vieles erdulden,
Wirst als gewaltige Leich' im elenden Aegyptien liegen.
Wer in Aegypten nach dir ein Verlangen aber gehegt hat,
Alle beweinen dich sehr; doch wer ewgen Verstand in dem Herzen
Trägt, wird erkennen, dass du nichts bist, jeder Gottesverehrer.
Und von den Priestern wird ein in Linnen gekleideter sprechen:
Auf, und lasset uns Gott einen schönen Tempel in Wahrheit
Aufbaun und das böse Gesetz der Vorfahren ändern,
Weshalb wann Götzen von Stein oder Götzen aus Thone geformet
Sie Festzüge gemacht und Feste, sie dies nicht erkannten.
Lasst uns bekehren das Herz und dem ewigen Gotte lobsingen,
Ihm dem Erzeuger und der von Ewigkeit immer gewesen,
Ihm dem Beherrscher des All, dem wahren, und welcher der König,
Ihm der das Leben als Vater erhält, Gott, der gross ist und ewig.
Und in Aegypten wird dann ein grosser und heiliger Tempel
Sein, und darin wird das Volk, welches Gott sich erwählete, opfern.
Ihnen wird Gott dann verleihn, auf dass sie ewiglich leben.
Wann aber lassen im Stich der Triballer schamlose Geschlechter
Die Aethiopier einst, um Aegypten für sich zu bebauen;
Dann wird ihr Frevel beginnen, auf dass Alles später geschehe.
Denn sie zerstören den Tempel, den grossen im Lande Aegypten:
Aber auf Erden wird Gott erschrecklichen Zorn ihnen senden,
So dass die Freveler all und die Bösen sämmtlich verschwinden.
Keine Schonung wird auch in jenem Land sich mehr finden,
Weil sie nicht haben bewahrt, was Gott ihnen ehedem auftrug.
In den Sternen sah ich das Drohen der leuchtenden Sonne,
Und des Mondes schrecklichen Zorn in dem Blitzstrahl erblickt' ich.
Sterne gebaren die Schlacht, und Gott hatte Kämpfe bewilligt.
Denn statt der Sonne befanden sich lange Flammen im Aufruhr;
Lucifer hielt die Schlacht und stand auf dem Rücken des Löwen;
Aber des Mondes zweifaches Horn war verändert im Umkreis.

Αἰγόκερως ἔπληξε νέου ταύροιο τένοντα·
Ταῦρος δ' αἰγοκέρωτος ἀφήρπασε νόστιμον ἦμαρ.
Καὶ ζυγὸν ὠρίων ἀπενόσφισε μηκέτι μεῖναι·
Παρθένος ἐν κριῷ διδύμων ἡλλάξατο μοῖραν·
Πλειὰς δ' οὐκέτ' ἔφαινε· δράκων δ' ἠρνήσατο ζώνην·
Ἰχθύες εἰσεδύοντο κατὰ ζωστῆρα λέοντος.
Καρκίνος οὐκ ἐνέμεινεν, ἔδεισε γὰρ ὠρίωνα·
Σκορπίος οὐρὰν ἐπῆλθε διὰ δεινοῖο λέοντος·
Ἡ δὲ κύων ὤλισθεν ἀπὸ φλογὸς ἠελίοιο·
Ὑδροχόος δ' ἐπύρωσε μένος κρατεροῖο φαεινοῦ.
Ὧρτο μὲν οὐρανὸς αὐτὸς, ἕως ἐτίναξε μαχητάς·
Θυμωθεὶς δ' ἐῤῥιψε καταπρηνεῖς ἐπὶ γαῖαν.
Ῥίμφα μὲν οὖν πληγέντες ἐπ' ὠκεανοῖο λοετρὰ,
Ἧψαν γαῖαν ἅπασαν· ἔμεινε δ' ἀνάστερος αἰθήρ.

Und es stiess ins Genick dem jungen Stiere der Steinbock;
Aber dem Steinbocke nahm der Stier die Hoffnung zur Heimkehr.
Auch versagte das Joch Orion, dass nicht mehr es bleibe,
Und der Zwillinge Loos hat die Jungfrau im Widder geändert.
Und die Pleiade erglänzte nicht mehr, und die Schlange versagte
Ihre Zone, zum Gürtel des Löwen tauchten die Fische.
Nicht ausharrte der Krebs, denn Furcht hatte er vor Orion.
Der Skorpion durch den schrecklichen Löwen durch nahte dem Schweife;
Und es barg sich der Hund vor der flammenden Sonne; des starken
Leuchters Muth aber setzte der Wasserträger in Flammen.
Selbst der Himmel erhob sich, bis dass er die Kämpfer erschüttert,
Und im Zorne er jählings hinab sie stürzt' auf die Erde.
Schnell nun warfen sie sich auf des Oceans Wasser, und gänzlich
Setzten in Brand sie die Erd', und es blieb ohne Sterne der Himmel.

ΤΩΝ ΣΙΒΥΛΛΙΑΚΩΝ
ΧΡΗΣΜΩΝ
ΛΟΓΟΣ ΕΚΤΟΣ.

Ἀθανάτου μέγαν υἱὸν ἀοίδιμον ἐκ φρενὸς αὐδῶ,
Ὠι θρόνον ὕψιστος γενέτης παρέδωκε λαβέσθαι,
Οὔπω γεννηθέντι· ἐπεὶ κατὰ σάρκα δοθεῖσαν
Ἠγέρθη, προχοαῖς ἀπολουσάμενος ποταμοῖο
Ἰορδάνου, ὃς φέρεται γλαυκῷ ποδὶ κύματα σύρων·
Ὃς, πυρὸς ἐκφεύξας, πρῶτος Θεὸν ὄψεται ἠδὺν,
Πνεύματι γινόμενον λευκαῖς πτερύγεσσι πελείης.
Ἀνθήσει δ' ἄνθος καθαρὸν, βρύσουσι δὲ πάντα.
Δείξει δ' ἀνθρώποισιν ὁδοὺς, δείξει δὲ κελεύθους
Οὐρανίους· πάντας δὲ σοφοῖς μύθοισι διδάξει.
Ἄξει δ' εἴς τε δίκην καὶ πείσει λαὸν ἀπεχθῆ,
Αἰνετὸν αὐχήσας πατρὸς γένος οὐρανίδαο.
Κύματα πεζεύσει, νούσους δ' ἀνδρῶν ἀπολύσει,
Στήσει τεθνηῶτας, ἀπώσεται ἄλγεα πολλὰ·
Ἐκ δὲ μιῆς σπειρῆς ἄρτου κόρος ἔσσεται ἀνδρῶν,
Οἶκος ὅταν Δαβὶδ φύῃ φυτόν· ἐν χερὶ δ' αὐτοῦ
Κόσμος ὅλος, καὶ γαῖα, καὶ οὐρανὸς, ἠδὲ θάλασσα.
Ἀστράψει δ' ἐπὶ γὴν, οἷόν ποτε φῶτα φανέντα·
Εἶδον ἀπ' ἀλλήλων πλευρῶν δύο γεννηθέντα.
Ἔσσεται, ἡνίκα γαῖα χαρήσεται ἐλπίδι παιδός.
Σοὶ δὲ μόνῃ, Σοδομῖτι γαίη, κακὰ πήματα κεῖται·
Αὐτὴ γὰρ δύσφρων τὸν σὸν Θεὸν οὐκ ἐνόησας,
Παίζοντα θνητοῖσι νοήμασιν· ἀλλ' ἀπ' ἀκάνθης
Ἔστεψας στεφάνῳ, φοβερὴν δὲ χολὴν ἐκέρασσας
Εἰς ὕβριν καὶ πνεῦμα· τό σοι κακὰ πήματα τεύξει.
Ὦ ξύλον ὦ μακαριστὸν, ἐφ' ᾧ Θεὸς ἐξετανύσθη·
Οὐχ ἕξει σε χθὼν, ἀλλ' οὐρανὸν οἶκον ἐσόψει,
Ἡνίκα ἀστράψῃ τὸ νέον Θεοῦ ἔμπυρον ὄμμα.

SIBYLLINISCHE WEISSAGUNGEN.

SECHSTES BUCH.

Herzlich besing' ich den Sohn des Unsterblichen, gross und voll Ruhmes,
Welchem den Thron zum Besitz übergab der höchste Erzeuger,
Eh' noch geboren er war; denn im Fleische, das ihm verliehn ward,
Trat er hervor und liess waschen sich ab in des strömenden Jordans
Reichlichem Guss, der mit bläulichem Fusse die Wellen fortwälzet.
Der auch dem Feuer entflohn, wird zuerst Gott den lieben erblicken.
Ihn den erzeugte der Geist in der Taube weissem Gefieder.
Und aufblühen wird er, eine reine Blume, und üppig
Sprosst Alles auf. Und den Weg und die himmlischen Pfade wird zeigen
Er den Menschen und alle in weiser Erzählung belehren.
Und zur Gerechtigkeit führt er und reget das feindliche Volk an,
Preisend das ruhmreiche Geschlecht des himmlischen Vaters.
Wandeln wird er auf dem Meer und heilen Krankheiten der Menschen;
Todte wecket er auf und vielerlei Leiden vertreibt er;
Und aus Einem Netze mit Brod macht satt er die Menschen,
Wann das Davidische Haus einen Spross treibt; in dessen Hand wird
Sein die gesammte Welt und die Erde, der Himmel, die Meerfluth.
Aber im Nu wird er sein auf der Erde, wie einst ihn die Menschen
Sahen erscheinen, die zwei, die den Seiten einander entsprossen.
Dies wird geschehn wann die Erde sich freuet der Hoffnung des Kindes.
Dir nur allein, Sodomitisches Land, sind Leiden beschieden:
Denn böswillig hast du deinen Gott nicht wollen erkennen,
Welcher das sterbliche Sinnen verlacht; sondern flochtest aus Dornen
Ihm einen Kranz und mischtest dazu ihm die schreckliche Galle,
Geistigen Uebermuths voll; dies bereitet dir übele Leiden.
O glückseliges Holz, an welchem einst Gott ausgespannt war!
Nicht wird die Erde dich halten, das Himmelshaus wirst du erblicken,
Wann im Glanze aufs Neue erscheint die Lichtgestalt Gottes.

ΤΩΝ ΣΙΒΥΛΛΙΑΚΩΝ

ΧΡΗΣΜΩΝ

ΛΟΓΟΣ ΕΒΔΟΜΟΣ.

[Ὦ Ῥόδε, δειλαίη· σὲ γὰρ πρώτην, σὲ δακρύσω.]
Ἔσσῃ δὲ πρώτη πόλεων, πρώτη δ' ἀπολέσσῃ,
Ἀνδρῶν μὲν χήρη, βιότου δέ [γε] πάμπαν ἀδευκής.
Λῆλε, σὺ μὲν πλεύσεις, καὶ ἐφ' ὕδατος ἄστατος ἔσσῃ.
Κύπρε, σὲ δ' ἐξολέσει γαμικῆς ποτὲ κῦμα Θαλάσσης.
Σικελίη, φλέξει σε τὸ καιόμενον κατὰ σοῦ πῦρ.

. . . . . .

Οὐδ' ἀλέγειν τὸ Θεοῦ φοβερὸν καὶ ἐπήρατον ὕδωρ.

. . . . . .

Νῶέ τις ἐκ πάντων μοῦνος φυγὰς ἦλυθεν ἀνδρῶν.

. . . . . .

Πλεύσει γῆ, πλεύσει δὲ ὄρη, πλεύσει δὲ καὶ αἰθήρ.
Ὕδωρ ἔσται πάντα, καὶ ὕδασι πάντ' ἀπολεῖται.
Στήσονται δ' ἄνεμοι, καὶ δεύτερος ἔσσεται αἰών.
Ὦ Φρυγίη, πρώτη δ' ἀναλάμψεις ὕδατος ἄκρου·
Πρώτη δ' εἰς ἀσέβειαν ἀπαρνήσῃ Θεὸν αὐτὴ,
Ἄλλοις εἰδώλοις κεχαρισμένη, ὅσσα σε, δειλὴ,
Ἐξολέσει, πολλῶν περιτελλομένων ἐνιαυτῶν.
Αἰθίοπες δύστηνοι, ὑπ' ἄλγεα οἰκτρὰ παθόντες,
Ῥομφαίαις πλήξονται ὑπὸ χρόα πεπτηῶτες.
Τὴν λιπαρὴν Αἴγυπτον ἀεὶ σταχύεσσι μέλουσαν,
Ἣν Νεῖλος νηκτοῖς ὑπὸ κύμασιν ἑπτὰ μεθύσκει,
Ἀλλήλων ἔμφυλος ἕλεῖ στάσις· ἔνθεν ἀέλπτως
Ἀνέρες ἐξελάσουσι τὸν οὐ θεὸν ἀνδράσιν Ἄπιν.

SIBYLLINISCHE WEISSAGUNGEN.

SIEBENTES BUCH.

Rhodus, unglückliches du; denn dich will zuerst ich beweinen:
Unter den Städten die erste, wirst du zuerst auch zu Grund gehn,
Männerentblösst, doch an Lebensbedarf ohne Mangel in Allem.
Delos, auf Schiffen zwar fährst du, schwanken wirst du auf den Wassern.
Cypern dich stürtzet dereinst die Welle des bräutlichen Meeres.
Dich Sizilien verbrennt das unter dir brennende Feuer.

. . . . .

Nicht sich kümmern um Gottes erschrecklich und liebliches Wasser.

. . . . .

Noa allein kam an, entronnen von sämmtlichen Menschen.

, , . . .

Schwimmen wird Erd' und Gebirg, der Himmel selbst schwimmet im Wasser.
Wasser wird überall sein und durch Wasser wird Alles zu Grund gehn.
Aber die Stürme ruhn und ein zweites Zeitalter beginnet.
Phrygien du wirst zuerst auf den Wassern oben erscheinen.
Aber du selbst wirst zuerst Gott aus Gottlosigkeit läugnen,
Weil du an andern Götzen dich freust, die, unglückliche, dich einst
Richten zu Grund, wann viele Jahre den Umlauf vollendet.
Die unglücklichen Aethioper, unter Schmerzen das Böse
Leidend, werden durchs Schwerdt bei zitterndem Leibe erschlagen.
Das beständ'ge Aegypten, das stets um Getreide besorgt ist,
Welches der Nil siebenmal mit schwimmbaren Fluthen berauschet,
Wird vernichten ein Krieg der Stämme; sodann unverhoffet
Werden die Menschen den Apis, der kein Gott für Menschen, vertreiben.

Αἲ αἲ, Λαοδίκεια, σὺ δ᾽ οὐ Θεὸν οὔποτ᾽ ἰδοῦσα
Ψεύσῃ, τολμηρή· [κλύσει] δέ σε κῦμα Λύκοιο.

* * *

Αὐτὸς ὁ γεννηθεὶς ὁ μέγας Θεὸς, ὃς [τέρα] πολλὰ
Ποιήσει, κρεμάσει δὲ δι᾽ αἰθέρος ἄξονα μέσσον,
Στήσει δ᾽ ἀνθρώποισι μέγαν φόβον ὑψόσ᾽ ἰδέσθαι,
Κίονα μετρήσας μεγάλῳ πυρὶ, οὗ ῥαθάμιγγες
Ἀνθρώπων ὀλέσουσι γένη, κακὰ δηλησάντων.
Ἔσται γάρ ποτε κοινὸς ἄναξ χρόνος, ἔνθα δὲ φῶτες
Ἐξιλάσουσι Θεόν γ᾽, ἀλλ᾽ οὐ παύσουσιν ἀνίας
Ἀχράντους. Λαβὶδ δὲ δι᾽ οἴκου πάντα τελεῖται.
Τῷ γάρ τ᾽ αὐτὸς ἔδωκε Θεὸς [θρόνον] ἐγγυαλίξας·
Οἱ δὲ διαγγελτῆρες ὑπαὶ ποσὶ κοιμήσονται,
Οἵ τε [πυροῖς] φαίνουσι, καὶ οἳ ποταμοῖς φαίνουσιν,
Οἵ τ᾽ ἄστη σώζουσι, καὶ οἳ πέμπουσιν ἀήτας.
Πολλοῖς δ᾽ αὖ χαλεπὸς βίος ἀνθρώποισιν [ἔπεισιν],
Εἰσδύνων ψυχαῖσι, καὶ ἀλλάσσων φρένας ἀνδρῶν.
Ἀλλ᾽ ὅταν ἐκ ῥίζης βλαστὸς νέος ὄμματα λύσῃ,
Τὴν κτίσιν, ἣν ποτε πᾶσι τροφὴν διέδωκε περισσὴν,
Καὶ τὰ μὲν ἀμφὶ χρόνοις ἔσται πλέον. Ἀλλ᾽ ὅταν ἄλλοι
Ἄρξωνται Πέρσαι, μαχίμων φῦλον, αὐτίκα δεινοὶ
Ἔσσονται θάλαμοι νυμφῶν διὰ δύσνομα φῦλα.
Ἕξει γὰρ μήτηρ ἓὸν υἱέα καὶ πόσιν· υἱὸς
Μητέρα δηλήσει· θυγάτηρ δ᾽ ἐπὶ πατρὶ κλιθεῖσα
Βάρβαρον ὑπνώσει τοῦτον νόμον. Ὕστερα δ᾽ αὐτοῖς
Ἐκλάμψει Ῥωμαῖος ἄρης πολλῆς ἀπὸ λόγχης,
Αἵματι δ᾽ ἀνδρομέῳ πολλὴν χθόνα φυρήσουσιν.
Ἰταλίης δὲ πρόμος τότε φεύξεται ἐκ δορὸς ἀλκῆς.
Λείψουσι δ᾽ ἐπὶ γῆς χρυσῷ κεχαραγμένον ἄνθος,
Ἐκπρομόλον τε φέρον γε ἀεὶ σημεῖον ἀνάγκης.
Ἔσται μὴν ὅτε πᾶσα κακὴ καὶ δύσμορος οἰκτρῶς
Ἰλιὰς [εἰσίεται] τάφον, οὐ γάμον, ἔνθα βαθεῖα
Κλαύσουσι νύμφαι, ὅτι δὴ Θεὸν οὐκ ἐνόησαν,
Ἀλλ᾽ αἰεὶ τυμπάνοις καὶ κρότοισιν ἦχον ἔδωκαν.
Μαντεύου, Κολοφών· μέγα σοι κρέμαται φοβερὸν πῦρ.
Θεσσαλίη δύσνυμφε, σὲ δ᾽ ὄψεται οὐκέτι γαῖα,
Οὐδὲ τέφρην, πλεύσῃ τε μόνη φυγὰς ἠπείροιο·
[Οὕτως], ὦ τλῆμον, σκύβαλον πολέμου λυγρὸν ἔσσῃ,
Ὠκύσι καὶ ποταμοῖς καὶ ῥομφαίῃσι πεσοῦσα.
Ὦ, τλῆμόν γε Κόρινθε, σὺ δ᾽ ἀμφ᾽ αὐτὴν βαρὺν ἄρην

Weh, weh, Laodicäa, Gott hättest du niemals gesehen
Lügest verwegene du; dich verwüsten die Wasser des Lykus.

* * *

Er der grosse, geborene Gott, der Wunder in Menge
Thut, der wird eine Axe aufhängen mitten am Himmel,
Und grossen Schrecken den Menschen hinstellen zu schaun in der Höhe,
Eine Säule mit mächtigem Feur zumessend, die Tropfen
Richten die Menschengeschlechter zu Grund, die Böses verübet.
Denn unrein wird die herrschende Zeit einst sein; doch dann werden
Gott die Menschen anflehn, aber die unsäglichen Leiden
Hören nicht auf. Und durch Davids Haus wird Alles erfüllet.
Denn ihm hat Gott selbst den Thron verliehn und behändigt;
Und es werden die Engel ihm ruhen unter den Füssen;
Ein Theil herrscht übers Feur, die anderen über die Flüsse,
Andere wahren die Städte, noch andere senden die Winde.
Aber lasten wird schwer auf vielen Menschen das Leben,
Wie es die Seelen beschleicht und den Sinn der Männer verändert.
Doch wann gestorben der neu hervor aus der Wurzel Entsprossne,
Als ein Erwerb, den er Allen reichlich zur Nahrung gegeben;
Dann wird auch dies in der Fülle der Zeit geschehn. Doch wann andre
Perser, ein streitbarer Stamm, regieren, dann werden entsetzlich
Alsbald sein die Gemächer der Braut wegen böser Geschlechter.
Denn den eigenen Sohn wird die Mutter haben als Gatten,
Und die Mutter bethört ihr Sohn; und die Tochter, beim Vater
Liegt sie barbarischen Brauchs und schläft. Doch später wird ihnen
Blitzen der römische Mars herab von zahlreichen Speeren;
Und sie röthen das Land weithin mit dem Blute der Männer.
Aber Italiens Anführer wird vor der Stärke des Speers dann
Fliehn, und im Lande man lässt das in Gold gemeiselte Zeichen,
Ragend hervor, und das allezeit trug ein Zeichen des Zwanges.
Einst wird ganz Ilion, das schlechte, unglückliche, schrecklich
Sinken hinab in das Grab; keine Hochzeit ist, worüber bittre
Thränen die Bräute vergiessen, dieweil sie Gott nicht erkannten,
Sondern die Cymbeln schlugen beständig bei rauschenden Tänzen.
Kolophon, frag das Orakel, dir droht Feuer gross und erschrecklich.
Du unglückliche Braut, Thessalien, dich wird die Erde
Nicht mehr schaun, auch verbrannt nicht: allein dem Festland entflohen
Fährst du daher und wirst unglückliche so sein des Krieges
Trauriger Auswurf und stirbst durch reissende Flüsse und Schwerdter.
O Korinth, unglückliches, du wirst den drängenden Ares

Δέξῃ, δειλαίη, καὶ ἐν ἀλλήλοις ἀπολεῖσθε.
Τῦρε, σὺ δ᾽ ἡλίκα λήψῃ μόνη· εὐσεβέων γὰρ
Ἀνδρῶν χώρης σῆς ὀλιγηπελίη σε διοίσει.
Ἆ, Συρίη κοίλη, Φοινίκων ὕπατον ἀνδρῶν,
Οἷς ἐπερευγομένη κεῖται Βηρυτιὰς ἅλμη,
Τλήμιων, οὐκ ἔγνως τὸν σὸν Θεὸν, [ὅς] ποτ᾽ ἔλουσεν
Ἰορδάνου ἐν ὑδάτεσσι, καὶ ἔπτατο πνεῦμα ἐπ᾽ αὐτῷ,
Ὃς πρὶν καὶ γαίης τε καὶ οὐρανοῦ ἀστερόεντος
Αὐθέντης γένητο λόγῳ Πατρὸς, πνεύματι δ᾽ ἁγνῷ
Σάρκ᾽ ἐνδυσάμενος, ταχὺς ἵπτατο πατρὸς ἐς οἴκους.
Τρεῖς δ᾽ αὐτῷ πύργους μέγας οὐρανὸς ἐστήριξεν,
Ἐν τῷ δὴ ναίουσι Θεοῦ νωμήτορες ἐσθλοὶ,
Ἐλπίς τ᾽, εὐσεβίη τε, σεβασμοσύνη τε ποθεινὴ,
Οὐ χρυσῷ χαίρουσα, ἢ ἀργύρῳ, ἀλλὰ σεβασμοῖς
Ἀνθρώπων, θυσίαις τε, δικαιοτάτοις τε λογισμοῖς.
Θύσεις δ᾽ ἀθανάτῳ μεγάλῳ Θεῷ ἠδ᾽ ἀγερώχῳ,
Οὐ χόνδρον τήξας λιβάνου πυρὶ, οὐδὲ μαχαίρῃ
Ἀρνεῖον κόψεις λασιότριχα· ἀλλ᾽ ἅμα πᾶσιν
Οἳ τεὸν αἷμα φέρουσι, λαβὼν ἀγριηνὰ πετεινὰ,
Εὐξάμενος πέμψεις, εἰς οὐρανὸν ὄμματα τείνας·
Ὕδωρ δὲ σπείσεις καθαρῷ πυρὶ, τοῖα βοήσας·
Ὃς σε Λόγον γέννησε Πατὴρ, πάτερ, ὄρνιν ἀφῆκα,
Ὀξὺν ἀπαγγελτῆρα λόγων Λόγου, ὕδασιν ἁγνοῖς
Ῥαίνων σὸν βάπτισμα, δι᾽ οὗ πυρὸς ἐξεφαάνθης.
Οὐδὲ θύρην κλείσεις, ὅτε τίς σοι ἐπήλυτος ἄλλος
Ἥξει δευόμενος, πενίης ἀπερυκέναι λιμόν.
Ἀλλὰ λαβὼν κεφαλὴν τοῦδ᾽ ἀνέρος, ὕδατι ῥάνας,
Εὖξαι τρίς· τῷ σῷ δὲ Θεῷ μάλα τοῖα βόησον·
Οὐκ ἔραμαι πλούτου· λιτός ποτε λιτὸν ἐδέγμην·
Ἄμφαδόν· σὺ πάτερ, σὺ χορηγητὴρ, ἐπάκουσον.
Εὐξαμένῳ δώσεις οἱ· ἀπήγαγεν ἔκτοτε δ᾽ ἀνήρ·
Μὴ θλίψῃς με, Θεοῦ ἱερὸν σέβας, ἠδὲ δίκαιον,
Ἁγνὸν, ἀδούλωτον, περὶ γένναν ἐλεγχθὲν . . . .
Τλήμονά μου κραδίην στῆσον, πάτερ· εἰς σὲ δέδορκα,
Εἰς σὲ τὸν ἄχραντον, τὸν μὴ χέρες ἐργάσαντο.
Σαρδὼ, νῦν σὺ βαρεῖα, μεταλλάξῃ ἐς τέφρην.
Ἔσσῃ δ᾽ οὐκέτι νῆσος, ὅταν δεκάδος χρόνος ἔλθῃ.
Ζητήσουσι πλέοντες ἐν ὕδασιν οὐκέτ᾽ ἐοῦσαν,
Ἀλκυόνες δ᾽ ἐπὶ σοὶ οἰκτρὸν γόον αἰάξουσι.
Μυγδονίη τρηχεῖα, δυσέκβατε πυρσὲ θαλάσσης,
Αὐχήσεις αἰῶνα, καὶ αἰώνων ἀπολέσσῃ

Haben, o ärmste, ringsum und ihr werdet zusammen zu Grund gehn.
Du aber, Tyrus, was wirst du erhalten allein; denn der frommen
Männer Ohnmacht in deinem Lande, die wird dich zerstreuen.
O Cölesyrien, hoch über den Phönizischen Männern,
Denen Berytias Meer da liegt in seinem Ergiessen,
O Unglückliches, du hast erkannt deinen Gott nicht, der einstens
Sich in den Strom des Jordans getaucht, auf dem ruhte der Geist dann;
Der bevor noch die Erd' und der Himmel, der sternhelle, waren,
Herrscher durchs Wort seines Vaters war; der mit Fleisch sich bekleidet
Durch den heiligen Geist, schnell flog zu dem Hause des Vaters.
Und drei Thürme hat ihm der grosse Himmel errichtet,
Wohnsitz nahmen darin sich Gottes vortreffliche Lenker,
Hoffnung und Frömmigkeit und die Heiligkeit, welche erwünscht ist,
Die nicht an Gold oder Silber sich freut, sondern an der Verehrung,
Welche die Menschen darbringen, an Opfern und rechter Gesinnung.
Opfern aber sollst du dem unsterblichen, grossen, geehrten
Gotte, nicht schmelzend im Feur des Weihrauchs Körner, nicht schlachten
Das dichtwollige Lamm mit dem Messer; sondern mit allen,
In denen kreiset dein Blut, ergreife das wilde Geflügel,
Bete und sende es hin, die Augen zum Himmel erhoben.
Und das Wasser giess aus ins reine Feuer, so sprechend:
Vater, der dich den Logos gezeugt, einen Vogel entsandt' ich,
Logos, den schnellen Verkünder der Worte, mit heiligem Wasser
Deine Taufe besprengt' ich, wodurch aus dem Feur du hervorgingst.
Schliesse die Thüre nicht zu, wenn zu dir ein fremder Ankömmling
Kommen will in seiner Noth, zur Abwehr von Hunger und Armuth;
Sondern ergreife das Haupt jenes Mannes, bespreng' es mit Wasser,
Bete dreimal, und zu deinem Gott sprich folgende Worte:
Reichthum liebe ich nicht; einst selber bittend, nahm auf ich
Oeffentlich den welcher bat: du Vater, du Helfer, erhöre.
Hat er gebetet, so gib ihm; und dann, wann hinweg ist der Mann, sprich:
Noth bereite mir nicht, Gott, heilig, gerecht und ehrwürdig,
Rein und frei, durch den ward Gehenna zu Schanden . . . .
Stärke mein armes Herz, o Vater, ich schaue auf dich nur,
Auf dich den Unbefleckten, welchen nicht Hände gebildet.
Sardo, jetzt so gewichtvoll, du wirst in Asche verwandelt;
Wirst keine Insel mehr sein, wann die Zeit der Dekade gekommen.
Suchen werden im Meer die Schiffer sie, die nicht mehr da ist,
Und in bitterer Klag' über dich werden Eisvögel seufzen.
Rauhes Mygdonien du, schwer ersteigliche Warte im Meere,
Prahlest über die Zeit, und wirst durch die Zeiten zu Grund gehn

Θερμῷ πνεύματι πᾶσα, μανήσῃ δ' ἄλγεσι πολλοῖς.
Κέλτι γαίη, τὸ δὲ σὸν κατ' ὄρος, παρὰ δύσβατον Ἄλπιν,
Ψάμμος ὅλην χώσει σε βαθύς· φόρον οὐκέτι δώσεις,
Οὐ στάχυν, οὐ βοτάνας· πανέρημος ἔσῃ δ' ἀπὸ λαῶν
Αἰεὶ, κρυμαλέοις δὲ παχυνομένη κρυστάλλοις,
Λώβην ἐκτίσεις, ἣν οὐκ ἐνόησας, ἄναγνε.
Ῥώμη καρτερόθυμε, Μακηδονίην μετὰ λόγχην
Ἀστράψεις ἐς ὄλυμπον· Θεὸς δέ σε πάμπαν ἄπυστον
Ποιήσει, ὁπόταν δοκέῃς πολὺ κρεῖσσον ἐς ὄμμα
Ἑδραία μίμνειν. Τότε σοι τοιαῦτα βρήσω.
Ὀλλυμένη φθέγξῃ λαμπρόν ποτε καὶ μαρμάρειον.
Δεύτερά σοι, Ῥώμη, μέλλω πάλι δεύτερα φωνεῖν.
Ἄρτι δέ σε, Συρίη τλῆμον, κατοδύρομαι οἰκτρῶς.
Θῆβαι δύσβουλοι, ὑμῖν κακὸς ἦχος ἐπέστη,
Αὐλῶν φθεγγομένων, ὑμῖν σάλπιγξ κακὸν ἦχον
Ἠχήσει, ὄψεσθε δ' ἀπολλυμένην χθόνα πᾶσαν.
Αἴ αἴ σοι, τλήμων, αἴ αἴ, κακόθυμε θάλασσα.
Βρωθήσῃ πυρὶ πᾶσα, καὶ ἐξολέσεις λαὸν ἅλμῃ.
Ἔσται γάρ τε τοσοῦτον ἐπὶ χθονὶ μαινόμενον πῦρ,
Ὅσσον ὕδωρ ῥεύσει, καὶ ἐξολέσει χθόνα πᾶσαν.
Φλέξει ὄρη, καύσει ποταμοὺς, πηγὰς δὲ κενώσει.
Ἔσται κόσμος ἄκοσμος, ἀπολλυμένων ἀνθρώπων.
Καιόμενοι δὲ κακῶς τότε τλήμονες ἐμβλέψουσιν
Οὐρανὸν, οὐκ ἄστροις, ἀλλ' ἐν πυρὶ κεκμηῶτα.
Οὐδὲ θοῶς ὀλέκονται, ἀπολλύμενοι δ' ὑπὸ σαρκῶν,
Πνεύματι καιόμενοι εἰς αἰώνων ἐνιαυτοὺς,
Αἰεὶ δυσβασάνιστα Θεοῦ νόμον εἰδήσουσιν
Οὐκ ἀπαφητὸν ἐόντα· βιαζομένη δ' ἄρα γαῖα,
Ὄντινα τολμήσασα Θεὸν ἐπεδέξατο βωμοῖς,
Ψευδομένη καπνὸν [δὲ] δι' αἰθέρος ἄλγεα θέντα.
Κεῖνοι δὲ τλήσονται ἄγαν πόθον, οἳ διὰ κέρδους
Αἰσχρὰ προφητεύσουσι, κακὸν χρόνον ἀλδαίνοντες.
Οἱ μὲν, δυσάμενοι προβάτων λασίοτριχα ῥινὰ,
Ἑβραῖοι ψεύσονται, ὃ μὴ γένος ἔλλαβον αὐτοὶ,
Ἀλλὰ λόγοις λαλέοντες, ἐπ' ἄλγεσι κερδαντῆρες,
Οἳ βίον ἀλλάξουσι, καὶ οὐ πείσουσι δικαίους
Οὔτε Θεὸν πάμπυστα διὰ φρενὸς ἱλάσκονται.
Ἐν δὲ τρίτῳ κλήρῳ περιτελλομένων ἐνιαυτῶν,
Ὀγδοάτης πρώτης, ἄλλος πάλι κόσμος ὁρᾶται.
Νὺξ ἔσται πάντη . . . . . μακρὴ καὶ ἀπειθής.
Καὶ τότε μὲν θείου δεινὴ περιβήσεται ὁδμὴ,

Gänzlich durch glühenden Wind, und rasen in zahlreichen Leiden.
Celtisches Land, im Gebirg an der steilen Alpe gelegen,
Tiefer Sand überschüttet dich ganz; nicht Früchte wirst du mehr
Tragen, nicht Aehren, noch Futter; verlassen wirst du von den Völkern
Immerdar sein, und starren wirst du von frostigem Eise,
Büssen wirst du die Schuld, die du nicht anerkanntest, unreines.
Du starkmüthiges Rom, nach dem Macedonischen Speere
Wirst zum Olymp du strahlen; doch Gott wird dich gänzlich verschollen
Machen, alsdann wann du von Ansehn befestigt vor Allen
Scheinest zu sein, dann werde ich laut dir solches zurufen.
Untergehend wirst du einst laut und gewaltig aufschreien.
Abermals werde ich dir, Rom, abermals wieder zurufen.
Jetzt aber will ich auch dich, armes Syrien, bitter beweinen.
Uebelberathenes Theben, dir droht ein übel Getöse
Scharfen Flötengetöns, dir wird bösen Lärm die Trompete
Machen, und sehen wirst du die sämmtliche Landschaft zu Grund gehn.
Wehe, unglückliche, dir, wehe dir, du treulose Meerfluth!
Ganz vom Feuer verzehrt wirst ein Volk durch die Fluth du vernichten.
Denn mit solcher Gewalt wird das Feuer einst rasen auf Erden,
Wie das Wasser hinströmt und die ganze Erde vernichten.
Berge verbrennts, entzündet die Flüsse und leeret die Quellen.
Nicht mehr Welt ist die Welt, und die Menschen gehen zu Grunde.
Aber gar übel im Brand werden dann die Unglücklichen schauen
Zu dem Himmel, der nicht voll Sternen, sondern voll Feur ist.
Aber sie gehn nicht schnelle zu Grund, sondern unter den Körpern
Sinkend dahin, und brennend am Geist auf ewige Zeiten,
Werden sie sehn, dass Gottes Gesetz zwar stets schwer erforschlich,
Aber nicht trügerisch ist. Doch die Erde, welche bewältigt,
Welchem Gott sie auch immer verwegen die Opfer gebracht hat,
Die ist getäuscht ob des Rauchs in der Luft, welcher Schmerzen bereitet.
Die aber werden gar sehr im Verlangen sich wagen, die schmählich
Weissagen um den Gewinn, und die bösen Zeiten verlängern.
Die zwar sich eingehüllt in die wolligen Felle der Schaafe,
Fälschlich Hebräer sich nennen, gleichwohl von anderm Geschlecht sind,
Aber die Reden nur führen, Gewinn an Schmerzen nur bringen,
Welche die Sitten verändern, doch nicht die Gerechten verführen,
Die da Gott in dem Geist und arglosen Herzens versöhnen.
Aber im dritten Loos wiederum der rollenden Jahre
Wird eine andere Welt in der ersten Oktave erscheinen.
Nacht wird überall sein, eine lange, die gar ungefügig.
Und ein schrecklicher Qualm von Schwefel wird dann umherziehn,

Ἀγγέλλουσα φόνους, ὁπόταν κεῖνοι ἀπόλωνται
Νυκτί τε καὶ λιμῷ. Τότε γεννήσει καθαρὸν νοῦν
Ἀνθρώπων, στήσει δὲ τεὸν γένος, ὡς πάρος ἦν σοι.
Οὐκέτι τις κόψει βαθὺν αὔλακα γυρῷ ἀρότρῳ·
Οὐ βόες ἰθυντῆρα κάτω βάψουσι σίδηρον·
Κλήματα δ' οὐκ ἔσται, οὐδὲ στάχυς· ἀλλ' ἅμα πάντες
Μάννην τὴν δροσερὴν λευκοῖς ὑπ' ὀδοῦσι φάγονται.
Σὺν δ' αὐτοῖς ἔσται τότε καὶ Θεὸς, ὅστε διδάξει,
Ὡς ἐμὲ τὴν λυγρήν. Ὅσα γὰρ κακὰ πρόσθεν ἔρεξα
Εἰδυῖ', ἄλλα τε πολλὰ κακῶς ἐπόνησ' ἀμελοῦσα.
Μυρία μέν μοι λέκτρα, γάμος δ' οὐδεὶς ἐμελήθη·
Πᾶσι δ' ἐγὼ πανάπτυστος ἐπήγαγον ἄγριον ὄρκον.
Λευομένους ἀπέκλεισα, καὶ ἐν προμολοῦσιν ἰοῦσα
Εἴκελον εἰς αὐλῶνα, Θεοῦ φάτιν οὐκ ἐνόησα.
Τοὔνεκα πῦρ μ' ἔφαγεν καὶ βρώσεται· οὐδὲ γὰρ αὐτὴ
Ζήσομαι, ἀλλ' ὀλέσει με κακὸς χρόνος, ἔνθα τάφον μοι
Ἄνθρωποι τεύξουσι, παρερχόμενοί με θαλάσσῃ,
Καί με λίθοις ὀλέσουσ'· ἐπ' ἐμῷ γὰρ πατρὶ λαχοῦσα,
Υἷα φίλον μετέδωκα. Βάλοιτέ μὲ, βάλλετε πάντες·
Οὕτω γὰρ ζήσω, καὶ ἐς οὐρανὸν ὄμματα πήξω.

Und verkünden den Mord, wann Jene werden zu Grund gehn
Durch die Nacht und die Noth. Dann wird er den Menschen erzeugen
Reinen Verstand und hinstellen dein Volk, wie früher es dir war.
Mit dem gebogenen Pflug wird keiner mehr ziehn tiefe Furchen;
Nicht mehr senken hinab die Stiere das richtende Eisen;
Nicht werden Reben mehr sein, noch Aehren mehr; sondern es werden
Alle das thauende Manna mit blendenden Zähnen zermalmen.
Und mit ihnen wird dann auch Gott sein, der sie belehret,
Wie er auch mich, die Betrübte. Denn was früher Böses ich übte,
Weiss ich, und Anderes viel, was ich sorglos und böslich verbrochen.
Beilager hatt' ich ohn Zahl, jedoch keiner Ehe gedacht' ich;
Und Alle hab' ich gebracht leichtsinnig zum ruchlosen Eidschwur.
Dürftige wehrte ich ab, und wandelnd unter den Ersten
Ging in das ähnliche Thal ich, der Aussprüche Gottes nicht achtend.
Darum ergriff mich das Feur und wird mich verzehren; denn leben
Werde ich nicht; mich vernichtet die übele Zeit, und die Menschen
Werden mir dann errichten ein Grab, mir nahend am Meere,
Und mich steinigen; denn um des Vaters willen erhielt ich
Einen theueren Sohn. Nun werfet, nun werfet mich Alle;
Leben erhalte ich so, werde himmelan heften die Augen.

ΤΩΝ ΣΙΒΥΛΛΙΑΚΩΝ

ΧΡΗΣΜΩΝ

ΛΟΓΟΣ ΟΓΔΟΟΣ.

Ἐρχομένης μεγάλης ὀργῆς ἐπὶ κόσμον ἀπειθῆ
Ὑστατον εἰς αἰῶνα, Θεοῦ μηνύματα φαίνω,
Πᾶσι προφητεύουσα κατὰ πτόλιν ἀνθρώποισιν.
Ἐξότε δὴ πύργος τ' ἔπεσε, γλῶσσαί τ' ἀνθρώπων
Εἰς πολλὰς θνητῶν ἐμερίσθησαν διαλέκτους,
Πρῶτα μὲν Αἰγύπτου βασιλήϊον, εἶτα τὸ Περσῶν,
Μήδων, Αἰθιόπων, καὶ Ἀσσυρίης Βαβυλῶνος,
Εἶτα Μακηδονίης τῦφον μέγαν αὐδήσασα,
Πέμπτομαι εἰς Ἰταλῶν κλεινὴν βασιλείαν ἄθεσμον.
Ὑστάτιον πᾶσιν δείξει κακὰ πολλὰ βροτοῖσι,
Καὶ πάσης γαίης ἀνδρῶν μόχθους δαπανήσει.
Ἄξει δ' αἰχμητὰς βασιλεῖς ἐθνῶν ἐπὶ δυσμὰς,
Καὶ θεσμοὺς θήσει λαοῖς, καὶ πάνθ' ὑποτάξει.
Ὀψὲ Θεοῦ μῦλοι ἀλέουσι τὸ λεπτὸν ἄλευρον.
Πῦρ τότε πάντ' ὀλέσει, καὶ λεπτὸν χνοῦν ἀποδώσει
Ὑψικόμων ὀρέων κορυφὰς καὶ σαρκὸς ἁπάσης.
Ἀρχὴ πᾶσι κακῶν φιλοχρημοσύνη καὶ ἄνοια.
Χρυσοῦ γὰρ δολίοιο καὶ ἀργυρίου πόθος ἔσται·
Οὐδὲν γὰρ τούτων θνητοὶ μεῖζον προέκριναν,
Οὐ φάος ἠελίου, οὐκ οὐρανὸν, οὐδὲ θάλασσαν,
Οὐ γαῖαν πλατύνωτον, ὅθεν φύουσιν ἅπαντα,
Οὐ τὸν πάντα διδόντα Θεὸν, γεννήτορα πάντων,
Οὐ πίστιν τούτων καὶ εὐσεβίην προέκριναν.
Πηγὴ δυσσεβίης καὶ ἀταξίης προοδηγος,
Μηχανίη πολέμων, εἰρήνης ἐχθρά τ' ἄνοια,
Ἐχθραίνουσα τέκνοις γονέας καὶ τέκνα γονεῦσι.

SIBYLLINISCHE WEISSAGUNGEN.

ACHTES BUCH.

Was Gott hat offenbart vom gewaltigen Zorn, der hereinbricht
Ueber die trotzige Welt am Ende der Zeiten, verkünd' ich
Allen den Menschen zumal von Stadt zu Stadt prophezeiend.
Seitdem der Thurm war zusammengestürzt, und die Sprachen der Menschen
Sich in vielerlei Mundart der Sterblichen hatten gespalten,
Hab' ich zuerst vom Aegyptischen Reich, von der Herrschaft der Perser,
Meder und Aethioper dann, und Babels im Land der Assyrer,
Von Macedoniens Stolz, dem gewaltigen, darauf erzählet;
Nun zu der Italer Reich, dem berühmten und bösen, schickt man mich.
Allen Menschen wird es am Ende viel Böses zufügen,
Und vergeuden die Mühe der Menschen in jeglichem Lande.
Und nach Westen wird es der Heiden tapfere Herrscher
Schleppen, den Völkern Gesetze vorschreiben, und Alles bezwingen.
Spät erst mahlen die Mühlen Gottes das feine Getreide.
Dann wird Alles das Feuer vernichten, und zu dünnem Staube
Wandeln die Scheitel belaubten Gebirgs und jeglichen Fleisches.
Geldgier und Unverstand ist für Alle der Anfang der Uebel.
Denn nach trügrischem Gold und Silber entsteht ein Begehren;
Denn die Sterblichen halten nichts für besser als dieses;
Weder das Sonnenlicht, noch den Himmel selbst, oder die Meerfluth,
Oder den breiten Rücken der Erde, wo Alles entspriesset;
Auch Gott nicht, der Alles verleiht, den Erzeuger von Allem;
Nicht den Glauben und nicht die Frömmigkeit ziehen sie ihm vor.
Quelle der Gottlosigkeit und der Unordnung erster Urheber,
Vorwand zum Krieg und Feindinn des Friedens ist jene Thorheit,
Machend die Eltern zum Feind den Kindern, die Kinder den Eltern.

Κοὐδὲ γάμος ἅμα χρυσῷ ὅλος ποτὲ τίμιος ἔσται.
Γαῖά θ᾽ ὅρους ἕξει, καὶ φρουροὺς πᾶσα θάλασσα,
Πᾶσι μεριζομένη δολίως τοῖς χρυσὸν ἔχουσιν,
Ὡς αἰῶσι θέλοντας ἔχειν πολυθρέμμονα γαῖαν.
Πορθήσουσι πένητας, ἵν᾽ αὐτοὶ, πλείονα χῶρον
Προσπορίσαντες, ἀλαζονίῃ καταδουλώσωσι.
Κεἰ μὴ γαῖα πέλωρος ἀπ᾽ οὐρανοῦ ἀστερόεντος
Τὸν θρόνον εἶχε μακρὰν, οὐκ ἦν ἴσον ἀνδράσι φέγγος,
Ἀλλ᾽ ἀγοραζόμενον χρυσῷ πλουτοῦσιν ὑπῆρχε,
Καὶ πτωχοῖς αἰῶν᾽ ἕτερον θεὸς ἡτοίμαζεν.
Ἥξει σοί ποτ᾽ ἄνωθεν ἴση, ὑψαύχενε Ῥώμη,
Οὐράνιος πληγὴ, καὶ κάμψεις αὐχένα πρώτη,
Κἀξεδαφισθήσῃ, καὶ πῦρ σε ὅλην δαπανήσει,
Κεκλιμένην ἐδάφεσσιν ἑοῖς, καὶ πλοῦτος ὀλεῖται,
Καὶ σὰ θέμεθλα λύκοι καὶ ἀλώπεκες οἰκήσουσι·
Καὶ τότ᾽ ἔσῃ πανέρημος ὅλως, ὡς μὴ γεγοννῖα.
Ποῦ τότε Παλλάδιον; Ποῖός σε θεὸς διασώσει,
Χρυσοῦς, ἢ λίθινος, ἢ χάλκεος; Ἢ τότε ποῦ σοι
Δόγματα συγκλήτου; Ποῦ Ῥείης, ἠὲ Κρόνοιο,
Ἠὲ Διὸς γενεὴ, καὶ πάντων, ὧν ἐσεβάσθης
Δαίμονας ἀψύχους, νεκρῶν εἴδωλα καμόντων,
Ὧν Κρήτη καύχημα τάφου ἢ δύσμορος ἕξει,
Θρησκεύουσα θρόνοισιν ἀναισθήτοις νεκύεσσιν;
Ἀλλ᾽ ὅτε σοι βασιλεῖς χλιδανοὶ τρὶς πέντε γένωνται,
Κόσμον δουλώσαντες ἀπ᾽ ἀντολίης μέχρι δυσμῶν,
Ἔσσετ᾽ ἄναξ πολιόκρανος, ἔχων πέλας οὔνομα πόντου,
Κόσμον ἐποπτεύων μιαρῷ ποδὶ, δῶρα πορίζων,
Χρυσὸν μὲν πάμπλειστον ἔχων, καὶ ἄργυρον ἐχθρὸν.
Πλείονα συλλέξας, καὶ γυμνώσας ἀναλύσει.
Καὶ μαγικῶν ἀδύτων μυστήρια πάντα μεθέξει,
Παῖδα θεὸν δείκνυσιν, ἅπαντα σεβάσματα λύσει,
Κἀξ ἀρχῆς τὰ πλάνης μυστήρια πᾶσιν ἀνοίξει.
Αἴλινος ἔκτοτε καιρὸς, ὅτ᾽ [αἴλινος αὐτὸς] ὀλεῖται.
Καί ποτε δῆμος ἐρεῖ· Μέγα σὸν κράτος, ἄστυ, πεσεῖται,
Εἰδὼς εὐθὺ τὸ μέλλον ἐπερχόμενον κακὸν ἦμαρ.
Καὶ τότε πενθήσουσιν ὁμοῦ, τὴν σὴν προβλέποντες
Οἰκτροτάτην μοῖραν, πατέρες καὶ νήπια τέκνα·
Αἰ, αἰ, θρηνήσουσι λυγραῖς παρὰ θύμβριδος ὄχθαις.
Τὸν μέτα τρεῖς ἄρξουσι πανύστατον ἦμαρ ἔχοντες,
Οὔνομα πληρώσαντες ἑπουρανίοιο θεοῖο,
Οὗ τὸ κράτος καὶ νῦν κεἰς τοὺς αἰῶνας ἅπαντας.

Auch keine Ehe wird mehr in Achtung sein neben dem Golde.
Gränzen wird haben die Erd', und bewacht wird jegliches Meer sein,
Listiger Weis' unter Alle vertheilt, die das Gold nur besitzen,
Als wenn sie wollten die nährende Erde auf ewig behalten.
Plündern werden sie Arme, damit sie stets sich erwerben
Der Ländereien noch mehr, durch Trug sie machen sich dienstbar.
Und hätte nicht die weite Erde vom sternreichen Himmel
Weit entfernt ihren Thron, nicht wär' auch den Menschen das Licht gleich;
Sondern es wäre gekauft um Gold von denen die reich sind,
Und eine andere Welt möchte Gott den Armen bereiten.
Dich, hochmüthiges Rom, wird dereinst gebührend von oben
Treffen vom Himmel ein Schlag, und zuerst wirst du beugen den Nacken,
Und wirst dahingestreckt sein, und Feur wird dich gänzlich verzehren,
Liegend auf eigenem Boden, nnd zu Grund wird gehen der Reichthum,
Und deine Wohnungen werden Wölfe und Füchse bewohnen.
Dann wirst du sein ganz öde, als wärest du niemals gewesen.
Dein Palladium, wo ist es dann? Welcher Gott wird dich retten,
Sei er von Gold, oder Stein, oder Erz? Wo sind die Beschlüsse
Deines Senates alsdann? Wo der Rhea, oder des Kronos,
Oder des Zeus Abkunft, und Aller, die du verehrtest,
Die leblosen Dämonen, die Götzen entkräfteter Todten,
Deren Grabesruhm wird das elende Kreta besitzen,
Welches Altäre erbaut den Leichen, die nichts mehr empfinden?
Aber wann dreimal fünf du gehabt der üppigen Herrscher,
Welche die Welt unterjocht vom Aufgang bis gegen Abend;
Dann wird ein Herrscher, ein Graukopf, erstehn, mit dem Namen des nahen
Meers, der die Welt mit besudeltem Fuss durchzieht und Geschenke
Häuft, der das Gold in Menge besitzt und des schädlichen Silbers
Mehr noch ansammelt, hinweg es nehmend, und dann wieder heimkehrt.
Theil wird er haben an allen Mysterien der magischen Tempel,
Wird einen Knaben zum Gott erklären, und jede Verehrung
Lösen und Allen sogleich des Truges Mysterien öffnen.
Klägliche Zeit dann, wann der Abscheuliche selber zu Grund geht.
Einst wird auch sprechen das Volk: Deine gewaltige Macht wird hinsinken,
Stadt du; es weiss den übelen Tag, der baldigst herankömmt.
Und es werden dann jammern zumal, erblickend im Voraus
Dein so unglückliches Loos, unmündige Kinder und Eltern;
Weh, weh, weinen wird man an den Trauergestaden der Tiber.
Nach ihm werden dann drei die letzten Tage noch herrschen,
Sie die den Namen ausfüllen von Gott, der den Himmel bewohnet,
Dessen Macht so wie jetzt, so auch alle Ewigkeit währet.

Εἷς μὲν, πρέσβυς ἐὼν, σκήπτρων ἐπὶ πουλὺ κρατήσει,
Οἰκτρότατος βασιλεὺς, ὃς χρήματα κόσμου ἅπαντα
Δώμασιν ἐγκλείσει τηρῶν, ἵν᾽, ὅταν γ᾽ ἐπανέλθῃ
Ἐκ περάτων γαίης ὁ φυγὰς μητροκτόνος ἐλθών,
Ταῦτα ἅπασι διδοὺς, πλοῦτον μέγαν Ἀσσίδι θήσει.
Καὶ τότε πενθήσεις πλατυπόρφυρον ἡγεμονήων
Φῶς ἐκδυσαμένη, καὶ πένθιμον εἶμα φοροῦσα,
Ὦ [βασιλὶς] μεγάλαυχε, Λατινίδος ἔκγονε Ῥώμης.
Οὐκέτι σοι τῆς σῆς μεγαλαυχενίης κλέος ἔσται,
Οὐδ᾽ ὀρθωθήσῃ ποτὲ δύσμορος, ἀλλὰ κλιθήσῃ.
Καὶ γὰρ ἀητοφόρων λεγεώνων δόξα πεσεῖται.
Ποῦ τότε σοι τὸ κράτος; Ποία γῆ σύμμαχος ἔσται,
Δουλωθεῖσα τεαῖς ματαιοφροσύνῃσιν ἀθέσμως;
Πάσης γὰρ γαίης θνητῶν τότε σύγχυσις ἔσται,
Αὐτὸς παντοκράτωρ ὅταν ἐλθὼν βήμασι κρίνῃ
Ζώντων καὶ νεκύων ψυχὰς, καὶ κόσμον ἅπαντα.
Κοὔτε γονεῖς τέκνοισι φίλοι, οὐ τέκνα γονεῦσιν
Ἔσσονται, διὰ δυσσεβίην καὶ θλίψιν ἄελπτον.
Ἔκτοτέ σοι βρυγμὸς, καὶ σκορπισμὸς, καὶ ἅλωσις,
Πτῶσις ὅταν ἔλθῃ πόλεων καὶ χάσματα γαίης.
Πυρφόρος ὥστε δράκων ὁπόταν ἐπὶ κύμασιν ἔλθῃ,
Γαστέρι πλῆθος ἔχων, καὶ θρέψῃ σοῖο τὰ τέκνα,
Ἐσσομένου λιμοῦ τε καὶ ἐμφυλίου πολέμοιο,
Ἔγγὺς μὲν κόσμου τὸ τέλος, καὶ ἔσχατον ἦμαρ,
Καὶ δοκίμοις κλητοῖς κρίσις ἀθανάτοιο Θεοῖο.
Πρῶτα δὲ Ῥωμαίων ἀπαραίτητος χόλος ἔσται·
Αἱμοπότης καιρὸς καὶ δύστηνος βίος ἥξει.
Αἲ αἲ σοι, Ἰταλὴ χώρη, μέγα βάρβαρον ἔθνος,
Οὐκ ἐνόησας, ὅθεν γυμνὴ καὶ ἀνάξιος ἦλθες
Πρὸς φάος ἠελίοιο, ἵν᾽ εἰς αὐτὸν πάλι χῶρον
Γυμνὴ χωρήσῃς, καὶ ὕστερον εἰς κρίσιν ἔλθῃς,
Ὡς ἀδίκως κρίνουσα. . . . . .
Χερσὶ γιγαντείῃσι μόνη κατὰ κόσμον ἅπαντα,
Ἐξ ὕψους ἐλθοῦσα, κατοικήσεις ὑπὸ γαῖαν.
Νάφθᾳ, κἀσφάλτῳ, καὶ θείῳ, καὶ πυρὶ πολλῷ
Ἐξαφανισθήσῃ, καὶ ἔσῃ κόνις αἰώνεσσιν
Αἰθομένη· καὶ πᾶς ὁ βλέπων μυκηθμὸν ἀκούσει
Πένθιμον ἐξ ἄϊδαο μέγαν, καὶ βρυγμὸν ὀδόντων,
Καὶ ταῖς σαῖς παλάμαις ἄθεα στήθη παταγοῦσαν.
Πᾶσιν ὁμοῦ νὺξ ἐστιν ἴση, τοῖς πλοῦτον ἔχουσι,
Καὶ πτωχοῖς· γυμνοὶ δ᾽ ἀπὸ γῆς, γυμνοὶ πάλιν εἰς γῆν

Einer, ein ältlicher Mann, wird lange das Skepter behaupten,
Ein sehr unglücklicher König, der sämmtliche Schätze der Erde
Während in seinem Pallaste verschliesst, um sie, wann wieder ankömmt
Von den Grenzen der Erde, der muttermördrische Flüchtling,
Allen zu geben und grossen Reichthum nach Asien zu bringen.
Dann wirst trauern auch du, dass den Glanz der purpurnen Streifen
Der Gebieter auszog und einhergeht im Trauergewande,
Stolzes Königreich, du Sprössling der lateinischen Roma.
Nicht mehr wird dir der Ruhm deines eigenen Prahlens verbleiben;
Auch nicht erhebst du dich mehr im Unglück, sondern bleibst liegen.
Denn es wird fallen der Ruhm der Legionen mit sammt seinen Adlern.
Wo wird dann deine Macht, welch Land im Bündniss mit dir sein?
Schmachvoll dienstbar bist du durch eigene Thorheit geworden.
Denn Verwirrung der Menschen wird dann auf der sämmtlichen Erde
Herrschen, wann er, der Allherrschende, kömmt auf dem Richtstuhl zu richten
Lebender Seelen, und derer die todt, und der Erde Gesammtheit.
Kindern werden nicht mehr liebe Eltern sein, Eltern nicht Kinder,
Wegen der Gottlosigkeit und der unerwarteten Trübsal.
Dann wird wüthender Schmerz und Zerstreuung dir sein und Erobrung,
Wann einstürtzen die Städte und wann die Erde sich öffnet.
Wann wie ein feuriger Drache es auf den Wogen heranzieht,
Mit vollgefülletem Bauch, und dir deine Kinder aufziehet,
Wann eine Hungersnoth ist und ein Krieg der Bürger entstehet:
Dann ist nah das Ende der Welt und der letzte der Tage,
Und des unsterblichen Gottes Gericht den bewährten Berufnen.
Unerbittlicher Zorn wird zuerst aber treffen die Römer.
Eine blutdürstige Zeit und ein elendes Leben wird kommen.
Weh, weh dir, Italisches Land, höchst barbarisches Volk du!
Wusstest du nicht, dass von wo du entblösst und unwürdig gekommen
Zu dem Lichte der Sonne, dass du zu demselbigen Lande
Nackt wiederum gehen wirst und dann zum Gerichte gelangen,
So wie ein Volk das mit Unrecht übte das Recht aus . . . . . .
Mit gigantischen Händen allein auf der sämmtlichen Erde
Kamst du her aus der Höh', und wirst wohnen nun unter der Erde.
Mit Naphtha und Asphalt und Schwefel und mit vielem Feuer
Wirst hinweg du getilgt und Staub sein, welcher im Brande
Ewiglich ist; und wer immer es sieht wird vernehmen ein grosses
Klagegeheul vom Hades herauf und Zähnegeklapper,
Und wie mit eigener Hand du schlägst an die gottlose Brust dir.
Gleich ist die Nacht für Alle zumal, für die Reichen und Armen.
Nackt kömmt man von der Erde und kehrt nackt wieder zur Erde,

Αὔξοντες λήγουσι βίου χρόνον ἐκτελέσαντες.
Οὐδεὶς δοῦλος ἐκεῖ, οὐ κύριος, οὐδὲ τύραννος,
Οὐ βασιλεῖς, οὐχ ἡγεμόνες μάλα τῦφον ἔχοντες,
Οὐ νομικὸς ῥήτωρ, οὐκ ἄρχων χρήμασι κρίνων·
Οὐ θυσιῶν σπονδαῖς ἐπὶ βωμοῖς αἷμα χέουσι·
Τύμπανον οὐκ ἠχεῖ, οὐ κύμβαλον . . . . . ,
Οὐκ αὐλὸς πολύτρητος ἔχων τε φρενόβλαβον αὐδὴν,
Οὐ σκολιοῦ σύριγμα φέρον μίμημα δράκοντος,
Οὐ σάλπιγξ πολέμων ἀγγέλτρια βαρβαρόφωνος·
Οὐ κώμοις μεθύοντες ἀθέσμοις, οὐχὶ χορείαις·
Οὐ φθόγγος κιθάρης· οὐ μηχανίη κακοεργός·
Οὐκ ἔρις, οὐκ ὀργὴ πολυποίκιλος, οὐδὲ μάχαιρα
Ἔστι παρὰ φθιμένοις· ἀλλ' αἰὼν κοινὸς ἅπασι,
Κλειδοφύλαξ εἱρκτῆς μεγάλης ἐπὶ βῆμα Θεοῖο.
. . . . . .
Χρυσοῖς τε ξοάνοισι καὶ ἀργυρέοις λιθίνοις τε
Ὡραῖαι γίνεσθε, ἵν' ἔλθητ' εἰς πικρὸν ἦμαρ,
Σὴν πρώτην κόλασιν, Ῥώμη, καὶ βρυγμὸν ὁρῶσαι.
Κοὐκέτι σοι δούλειον ὑπὸ ζυγὸν αὐχένα θήσει
Οὐ Σύρος, οὐχ Ἕλλην, οὐ βάρβαρος, οὐκ ἔθνος ἄλλο.
Ἐκπορθηθήσῃ, κἀκπραχθήσῃ ὅσ' ἔπραξας,
Λώσεις τ' οἰμώξασα φόβῳ, μέχρι πᾶν ἀποτίσεις.
Καὶ συ θρίαμβος ἔσῃ κόσμῳ, καὶ ὄνειδος ἁπάντων.
Ἕκτοτε δ' αὖ Λατίνων ἕκτη γενὴ βασιλήων
Ὑστάτιον βίον ἐκτελέσει, καὶ σκῆπτρα προλείψει.
Τῆς αὐτῆς γενεῆς ἕτερος βασιλεὺς βασιλεύσει,
Ὅς πάσης γαίης ἄρξει, καὶ σκῆπτρα κρατήσει·
Ἄρξει δ' αὐτοκέραστα, Θεοῦ βουλαῖσι μεγίστου·
Παῖδες καὶ παίδων τούτου γενὴ ἀσαλεύτων,
Ὡς γὰρ θέσφατόν ἐστι, περιπλομένοιο χρόνοιο,
Ὁππόταν Αἰγύπτου βασιλεῖς τρὶς πέντε γένωνται.
Ἔνθεν ὅταν φοίνικος ἐπέλθῃ πενταχρόνοιο,
Ἥξει πορθήσων λαῶν γένος, ἄκριτα φῦλα,
Ἑβραίων ἔθνος. Τότ' ἄρης ἄρεα προνομεύσει·
Ῥωμαίων ὑπέροπλον ἀπειλὴν αὐτὸς ὀλέσσει.
Ὤλετο τῆς Ῥώμης ἀρχὴ τότε τηλεθόωσα,
Ἀρχαίη πολέεσσι περικτιόνεσσιν ἄνασσα.
Οὐκέτι νικήσει τὸ πέδον Ῥώμης ἐριθήλου,
Ὁππόταν ἐξ Ἀσίης κρατέων ἔλθῃ σὺν ἄρηϊ.
Ταῦτα δὲ πάντ' ἔρξας, ἥξει [μετόπισθεν] ἐς ἄστυ.
Τρὶς δὲ τριηκοσίους καὶ τεσσαράκοντα καὶ ὀκτὼ

Wächst und höret dann auf, wann die Zeit des Lebens erfüllt ist.
Keiner ist Sklave alldort, oder Herr, auch Alleinherrscher Niemand,
Keine Könige gibts, noch Herrscher voll mächtigen Dünkels,
Keinen rechtskundigen Redner und keinen bestechlichen Richter.
Auf den Altären vergiesst man kein Blut zu Spenden für Opfer;
Keine Pauke ertönt noch Cymbel . . . . . .
Keine löchriche Flöte mit ihren wahnsinnigen Tönen;
Auch kein Pfeifengetön, die ähneln gewundenen Drachen;
Keine Trompete, des Kriegs Verkünd'rin, barbarischen Klanges.
Nicht die in schlechtem Gelag Berauschte sind, oder bei Tänzen,
Und keine Cither man hört; nicht gibts verbrechrische Arglist;
Weder Hader, noch vielgestaltiger Zorn, auch das Schwerdt nicht
Ist bei den Todten; gemein ist für Alle die endlose Zeit nur,
Wahret fürs Gottesgericht die Schlüssel zum grossen Gefängniss.
. . . . . .
Und in Gebilden von Gold, von Silber und Steinen geformet,
Werdet nur jugendlich schön, dass ihr kommt zum bitteren Tage,
Deine Bestrafung zuerst, o Rom, und dein Heulen zu schauen.
Nicht wird dein sklavisches Joch auf den Nacken mehr einer sich legen,
Weder der Syrer, noch Grieche, Barbar, oder andere Völker.
Plündern wird man dich und, wie du selbst thatst, übel behandeln,
Büssest laut ächzend vor Furcht, bis dass du Alles abbüssest.
Und ein Triumph wirst du sein für die Welt, eine Schande für Alle.
Dann wird nachher das sechste Geschlecht der lateinischen Herrscher
Enden das Leben zuletzt und fahren lassen die Skepter.
Und von demselben Geschlecht wird ein anderer König regieren,
Welcher beherrscht die sämmtliche Erd' und die Skepter erobert.
Und eine lautere Herrschaft er führt nach dem Willen des Höchsten.
Kinder und ein Geschlecht fest stehender Söhne besitzt er;
So ist von Gott es bestimmt in den sich umrollenden Zeiten,
Wann im Aegyptischen Land fünfzehn der Könige da sind.
Wann der Phönix von da an zum fünftenmale erscheinet,
Dann kömmt er, der die Völker beraubt, und verschiedene Stämme,
Und das Hebräische Volk. Dann wird Ares den Ares aussaugen.
Und das verwegene Drohn der Römer vernichtet er selber.
Unter ging Roms Herrschaft, ehedem in üppiger Blüthe,
Alte Herrscherinn einst über die umliegenden Städte.
Einst wird nicht das Gefild der üppigen Roma mehr siegen,
Wann aus Asien er mit Kriegsmacht gewaltig heranzieht.
Hat er dies Alles vollführt, so zieht er nachher in die Stadt ein.
Aber erfüllen wirst du dreimal dreihundert und vierzig

Πληρώσεις λυκάβαντας, ὅταν σοι δύσμορος ἥξῃ
Μοῖρα βιαζομένη, τεὸν οὔνομα πληρώσασα.
Οἵ μοι ἐγὼ τριτάλαινα, πότ' ὄψομαι ἦμαρ ἐκεῖνο
Σεῖό ποτε, Ῥώμη, πᾶσι δὲ μάλιστα Λατίνοις;
[Κώμαζ', εἰ βούλει σὺ, τὸν] ἐγκρυφίαισι λοχείαις
Ἀσσίδος ἐκ γαίης ἐπὶ Τρωϊκὸν ἅρμ' ἐπιβάντα,
Θυμὸν [ἔχοντ'] αἴθωνος. Ὅταν δ' ἰσθμὸν διακόψῃ
Παπταίνων, ἐπὶ πάντας ἰὼν, πέλαγος διαμείψας,
Καὶ τότε θῆρα μέγαν μετελεύσεται αἷμα κελαινόν.
Τὸν δὲ λέοντ' ἐδίωξε κύων, ὀλέκοντα νομῆας.
Σκῆπτρα δ' ἀφαιρήσουσι, καὶ εἰς ἄϊδαο περήσει.
Ἥξει καὶ Ῥοδίοις κακὸν ὕστατον, ἀλλὰ μέγιστον.
Καὶ Θήβαισι κακή γε μένει μετόπισθεν ἅλωσις.
Αἴγυπτος δ' ἀπολεῖται ὑφ' ἡγεμόνων κακότητος.
Ὡς δὲ καὶ οἱ μετόπισθ' ἔφυγον βροτοὶ αἰπὺν ὄλεθρον,
Τρὶς μακάριστος ἔην καὶ τετράκις ὄλβιος ἀνήρ.
Ἔσται καὶ Ῥώμη ῥύμη, καὶ Δῆλος ἄδηλος,
Καὶ Σάμος ἄμμος . . . . . .
Ὕστερον αὖ μετέπειτα καὶ εἰς Πέρσας κακὸν ἧξει
Ἀνθ' ὑπερηφανίης, ἀπολεῖται [δ'] ὕβρις ἅπασα.
Καὶ τότε ἀγνὸς ἄναξ πάσης γῆς σκῆπτρα κρατήσει
Εἰς αἰῶνας ἅπαντας, [ἀπο]φθιμένους ἀνεγείρας.
Τοῖς Ῥώμῃ ὕψιστος ἄγοι οἰκτρὴν τότε μοίρην,
Πᾶσίν [τ'] ἀνθρώποισιν, ὅροις [δ'] ἐπὶ τοῖσιν ὀλοῦνται·
Ἀλλ' οὐ μὴ πεισθῶσιν, ὅ κεν πολὺ λώϊόν ἐστιν.
Ἀλλ' ὁπόταν δὴ πᾶσιν ἐπαυξήσῃ κακὸν ἦμαρ
Λιμοῦ καὶ λοιμοῦ, δυσανασχέτου τε κυδοιμοῦ,
Καὶ τότ' ἔπειτ' αὖθις κρείων ἔμπροσθεν ὁ τλήμων,
Συγκαλέσας βουλὴν, βουλεύσεται ὡς ἀπολέσσει.

. . . . . .

Ξηρὰ μὲν ἀνθήσουσιν ὁμοῦ φύλλοισι φανέντα·
Οὐράνιον δ' ἔδαφος δείξει στερεᾷ ἐπὶ πέτρῃ
Ὄμβρον τε, φλογμόν τε, πολύπνοιάν τ' ἐπὶ γαῖαν,
Καὶ σπορίμων πληθὺν οἷων κατὰ γαῖαν ἅπασαν.
Ἀλλὰ πάλιν πράξουσιν ἀναιδέα θυμὸν ἔχοντες,
Οὐ μήνιμα Θεοῦ δειδιότες, οὔτ' ἀνθρώπων,
Αἰδοίην προλιπόντες, ἀναιδείην δέ γ' ἑλοῦνται,
Ἀστασίῃσι τύραννοι, ἁμαρτωλοί τε βίαιοι,
Ψεῦσται, ἀπιστόφιλοι, κακοπράγμονες, οὐδὲν ἀληθεῖς,
Πιστοπορθεῖς, ψευδέσσι λόγοις δύσφημα χέοντες·
Οὐδέ σφιν πλούτου κόρος ἔσσεται, ἀλλὰ ἀναιδῶς

Sonnenläufe und acht, wann dich das erschreckliche Schicksal
Ueberfällt mit Gewalt, das deinen Namen vertilget.
Weh mir Unseligen, wann werde ich jenen Tag einst erblicken,
Deinen dereinst, o Rom, und besonders für alle Lateiner?
Feiere, wenn dirs gefällt, den mit seinen heimlichen Kindern,
Der von Asiens Land aus besteigt den Trojanischen Wagen,
Voll von feurigem Zorn. Doch wann er den Isthmus durchstochen,
Spähend umher, gegen Alle gewandt, das Meer überschritten,
Dann wird dunkeles Blut dem grossen Thiere nachfolgen.
Aber der Hund verfolgte den Leu, der die Hirten erwürget.
Und man nimmt das Skepter ihm weg, und er geht in den Hades.
Unglück befällt auch die Rhoder, zuletzt zwar, aber ein grosses.
Böse Eroberung steht nachher auch bevor den Thebanern.
Auch wird Aegypten zu Grund gehn durch eigener Herrscher Verruchtheit.
Aber die Menschen nachher, die dem schrecklichen Tode entronnen,
Dreimal selig und vierfach glücklich ist Solcher zu preisen.
Und zur Ruine wird Rom, und Delos wird einstens verfallen,
Und zu Sand wird Samos . . . . . .
Später wird auch die Perser nachher betreffen das Unglück
Für ihren Uebermuth, und zu Grund geht ihr sämmtlicher Hochmuth.
Und ein heiliger Herr wird den ganzen Erdkreis regieren
Dann auf ewige Zeit, nachdem er die Todten erweckt hat.
Denen zu Rom wird der Höchste alsdann ein schreckliches Schicksal
Bringen, den Menschen zusammt, die in diesen Gebieten zu Grund gehn:
Aber sie wollen gehorsam nicht sein; denn das wäre viel besser.
Aber wann nun über Alle gehäuft sich der schreckliche Tag hat,
Bringend Hunger und Pest uud schwer zu ertragenden Kriegslärm;
Dann wird der frühere Fürst hernach, der Elende, wieder
Rufen zusammen den Rath und berathen, wie er verderbe.

. . . . . .

Und mit den Blättern zugleich sprosst auf und zeigt sich das Dürre.
Aber das Himmelsgewölbe bringt auf unfruchtbarem Felsen
Regengüsse und Glut und Windsbraut über die Erde,
Und auf der Erde zumal eine Menge verkümmerter Saaten.
Doch die frechen Gemüths sind, die werden wiederum handeln,
Fürchtend den göttlichen Zorn nicht und nicht sich scheuend vor Menschen,
Dreist ablegend die Schaam, und Unverschämtheit erwählen,
Mittelst Empörung Tyrannen, und Sünder bereit zur Gewaltthat,
Lügner, Ungläubige und Uebelthäter, die Wahrheit nicht liebend,
Glaubenszerstörer, durch Trug im Reden Schandthaten schmiedend.
Auch nicht werden sie satt an Reichthum, sondern ganz schamlos

Πλείονα συλλέξουσι· τυραννωθέντες ὀλοῦνται.
Ἄστρα πεσεῖται πάντα θαλάσσης ἀντίπρωρα,
Πολλὰ μὲν ἕξῆς ἄστρα, καὶ ἀκτινόεντα κομήτην
Ἄνθρωποι καλέουσι τὸν ἀστέρα, σῆμα πόνοιο,
Πολλοῦ ἐπερχομένου πολέμου καὶ δηϊοτῆτος.
Μή ποτ᾽ ἐγὼ ζώην, ὅτε ἡ ἱλαρὰ βασιλεύσει,
Ἀλλὰ τότ᾽, οὐρανίη ὅταν ἡ χάρις ἐμβασιλεύσῃ,
Καὶ ὁπόταν παῖς ποθ᾽ ἱερὸς δολοφόνα πάντων
Ἐξολέσῃ δεσμοῖς, ὀλοόφρονα βυσσὸν ἀνοίγων,
Αἰφνίδιος δὲ βροτοὺς ξύλινος δόμος ἀμφικαλύψῃ.
Ἀλλ᾽ ὅταν ἡ δεκάτη γενεὰ δόμον ἄϊδος εἴσω,
Θηλυτέρης μετέπειτα μέγα κράτος· ἦ κακὰ πολλὰ
Αὐξήσει Θεὸς αὐτὸς, ὅταν βασιληΐδα τιμὴν
Στεψαμένη τύχῃ· σύμπαν δ᾽ ἔτος ἤπυος αἰών.
Ἥλιος μὲν αὐχμηρὰ τρέχων νυκτερινὰ φαίνει·
Λείψει δ᾽ ἄστρα πόλον· πολλῇ δέ τε λαίλαπι θύων,
Γαῖαν ἐρημώσει· νεκρῶν δὲ ἀνάστασις ἔσται·
Χωλῶν δὲ δρόμος ὠκύτατος, καὶ κωφὸς ἀκούσει,
Καὶ τυφλοὶ βλέψουσι, λαλήσουσ᾽ οὐ λαλέοντες,
Καὶ κοινὸς πάντεσσι βίος καὶ πλοῦτος ἐσεῖται.
Γαῖα δ᾽ ἴση πάντων, οὐ τείχεσιν, οὐ περιφραγμοῖς,
Οὐδὲ μεριζομένη, καρποὺς τότε πλείονας οἴσει.
Πηγὰς δὲ γλυκεροῦ οἴνου, λευκοῦ τε γάλακτος,
Καὶ μέλιτος δώσει . . . . . .
. . . . . .
Καὶ κρίσιν ἀθανάτοιο Θεοῦ . . . . . .
Ἀλλ᾽ ὅταν ἀλλάξῃ καιροὺς Θεὸς . . . . . ,
Χεῖμα θέρος ποιῶν, τότε θέσφατα [πάντα τελεῖται].
Ἀλλ᾽ ὅτε κόσμος ὅλωλε . . . . . .

* * *

ΙΗΣΟΥΣ ΧΡΕΙΣΤΟΣ ΘΕΟΥ ΥΙΟΣ ΣΩΤΗΡ ΣΤΑΥΡΟΣ
Ἱδρώσει δὲ χθὼν, κρίσεως σημεῖον ὅτ᾽ ἔσται.
Ἥξει δ᾽ οὐρανόθεν βασιλεὺς αἰῶσιν ὁ μέλλων,
Σάρκα παρὼν πᾶσαν κρῖναι, καὶ κόσμον ἅπαντα.
Ὄψονται δὲ Θεὸν μέροπες πιστοὶ καὶ ἄπιστοι
Ὑψιστον μετὰ τῶν ἁγίων ἐπὶ τέρμα χρόνοιο.
Σαρκοφόρων δ᾽ ἀνδρῶν ψυχὰς ἐπὶ βήματι κρίνει,
Χέρσος ὅταν ποτὲ κόσμος ὅλος καὶ ἄκανθα γένηται.
Ῥίψουσι δ᾽ εἴδωλα βροτοὶ, καὶ πλοῦτον ἅπαντα.

Sammeln sie immermehr an, und werden gewaltsam zu Grund gehn.
Alle Gestirne zumal werden stürtzen entgegen dem Meere,
Viele hintereinander; die Menschen nennen Kometen
Jenen blitzenden Stern, der ein Zeichen ist grosser Bedrängniss,
Wo ein gewaltiger Krieg bevorsteht und arge Verwüstung.
Möcht' ich am Leben nicht sein, wann die Stadt, die fröhliche, herrschet;
Sondern alsdann wann die himmlische Gnade ausübet die Herrschaft,
Und wann dereinst der heilige Diener von Allen die Arglist
Richtet in Banden zu Grund und öffnet den tödtlichen Abgrund,
Und urplötzlich ein hölzernes Haus die Sterblichen einhüllt.
Aber wann einst das zehnte Geschlecht ist im Hause des Hades,
Dann die gewaltige Macht eines Weibes beginnt, und viel Uebles
Lässt Gott selbst sich mehren dann, wann mit der Würde der Herrscher
Sie sich umgab. Und das Jahr wird gänzlich sein voller Stürme.
Sengend durchläuft ihre Bahn die Sonne und scheinet des Nachts auch;
Sterne verlassen den Himmel; die mächtig anstürmende Windsbraut
Wird verheeren die Erd', und es werden die Todten erstehen.
Und sehr schnell ist der Lauf der Lahmen; es höret der Taube,
Und das Gesicht werden Blinde erhalten, und Stumme die Sprache;
Und gemeinsam wird sein das Leben und Reichthum für Alle.
Auch ist die Erde für Alle gemein, ohne Mauern und Zäune,
Nicht in Theile getheilt, und wird tragen die Früchte in Menge.
Aber des lieblichen Weins und der blendenden Milch wird er Quellen
Geben und Honig . . . . . .
. . . . . .
Und das Gericht des unsterblichen Gottes . . . . . .
Aber wann Gott umändert die Zeit [und den Frühling zum Herbst] macht,
Und den Winter zum Sommer, vollbracht wird dann die Prophezeiung.
Aber wann untergegangen die Welt . . . . . .

* * *

JESUS CHRISTUS, GOTTES SOHN, ERLÖSER, KREUZ.

Aber der Erde wird Schweiss entrinnen beim Zeichen des Richttags.
Und vom Himmel herab wird kommen der ewige König,
Jegliches Fleisch vor sich, und die Welt, die gesammte, zu richten.
Gott aber werden dann schaun die Gläubigen und die ungläubig,
Hoch in der Höh' am Ende der Zeit von den Heil'gen umgeben.
Und auf dem Richtstuhle richtet die Seelen der leiblichen Menschen
Er, wann einst ist unfruchtbar die Welt ganz und Dornen aufwachsen.
Und man wirft die Götzen hinweg und jeglichen Reichthum.

Ἐκκαύσει δὲ τὸ πῦρ γῆν, οὐρανὸν, ἠδὲ θάλασσαν
Ἰχνεῦον· φλέξει δὲ πύλας εἱρκτῆς ἀΐδαο.
Σὰρξ τότε πᾶσα νεκρῶν ἐπ' ἐλευθέριον φάος ἥξει
Τῶν ἁγίων· ἀνόμους δὲ τὸ πῦρ αἰῶσιν ἐλέγξει.
Ὁππόσα τις πράξας ἔλαθεν, τότε πάντα λαλήσει·
Στήθεα γὰρ ζοφόεντα Θεὸς φωστῆρσιν ἀνοίξει,
Θρῆνος δ' ἐκ πάντων ἥξει, καὶ βρυγμὸς ὀδόντων.
Ἐκλείψει σέλας ἠελίου, ἄστρων τε χορεῖαι.
Οὐρανὸν εἰλίξει· μήνης δέ τε φέγγος ὀλεῖται.
Ὑψώσει δὲ φάραγγας, ὀλεῖ δ' ὑψώματα βουνῶν,
Ὕψος δ' οὐκέτι λυγρὸν ἐν ἀνθρώποισι φανεῖται.
Ἴσά τ' ὄρη πεδίοις ἔσται, καὶ πᾶσα θάλασσα
Οὐκέτι πλοῦν ἕξει· γῆ γὰρ φρυχθεῖσα κεραυνῷ
Σὺν πηγαῖς, ποταμοὶ δὲ καχλάζοντες λείψουσι.
Σάλπιγξ δ' οὐρανόθεν φωνὴν πολύθρηνον ἀφήσει,
Ὠρύουσα μύσος μέλλον καὶ πήματα κόσμου.
Ταρτάρεον δὲ χάος τότε δείξει γαῖα χανοῦσα.
Ἥξουσι δ' ἐπὶ βῆμα Θεοῦ βασιλῆες ἅπαντες.
Ῥεύσει δ' οὐρανόθεν ποταμὸς πυρὸς, ἠδὲ θεείου.
Σῆμα δέ τοι τότε πᾶσι βροτοῖς σφρηγὶς ἐπίσημος,
Τὸ ξύλον ἐν πιστοῖς, τὸ κέρας τὸ ποθούμενον ἔσται,
Ἀνδρῶν εὐσεβέων ζωὴ, πρόσκομμα δὲ κόσμου,
Ὕδασι φωτίζων κλητοὺς ἐν δώδεκα πηγαῖς·
Ῥάβδος ποιμαίνουσα σιδηρείῃ τε κρατήσει.
Οὗτος ὁ νῦν προγραφεὶς ἐν ἀκροστιχίοις Θεὸς ἡμῶν,
Σωτὴρ ἀθάνατος βασιλεὺς, ὁ παθὼν ἕνεχ' ἡμῶν·
Ὃν Μωσῆς ἐτύπωσε προτείνας ὠλένας ἁγνὰς,
Νικῶν τὸν Ἀμαλὴκ πίστει, ἵνα λαὸς ἐπιγνῷ
Ἐκλεκτὸν παρὰ πατρὶ Θεῷ καὶ τίμιον εἶναι,
Τὴν ῥάβδον Δαβὶδ, καὶ τὸν λίθον ὕπερ ὑπέστη,
Εἰς ὃν ὁ πιστεύσας ζωὴν αἰώνιον ἕξει.
Οὐδὲ γὰρ ἐν δόξῃ, ἀλλ' ὡς βροτὸς εἰς κρίσιν ἦξεν,
Οἰκτρὸς, ἄτιμος, ἄμορφος, ἵν' οἰκτροῖς ἐλπίδα δώσει·
Καὶ φθαρτῇ σαρκὶ μορφὴν, καὶ πίστιν ἀπίστοις
Οὐράνιον δώσει, καὶ μορφώσει τὸν ἀπ' ἀρχῆς
Ἄνθρωπον πλασθέντα Θεοῦ παλάμῃσιν ἐν αὐταῖς,
Ὃν κ' ἐπλάνησεν ὄφις δολίως, ἐπὶ μοῖραν ἀπελθεῖν
Τοῦ θανάτου, γνῶσίν τε λαβεῖν ἀγαθοῦ τε κακοῦ τε,
Ὥστε, Θεὸν προλιπόντα, λατρεύειν ἤθεσι θνητοῖς.
Αὐτὸν γὰρ πρώτιστα λαβὼν σύμβουλον ἀπ' ἀρχῆς,
Εἶπεν ὁ παντοκράτωρ· Ποιήσωμεν, τέκνον, ἄμφω,

Aber das spähende Feur wird die Erde, den Himmel, die Meerfluth
Gänzlich verbrennen, und auch die Thore des schliessenden Hades.
Dann kömmt jegliches Fleisch der Todten zum Lichte der Freiheit,
Derer die heilig; doch Feur wird auf ewig die Bösen bestrafen.
Was Einer heimlich gethan, das wird er dann Alles erzählen;
Denn die dunkele Brust wird Gott dem Lichte aufschliessen.
Und von Allen ausgehn wird Weinen und Klappern der Zähne.
Bleichen werden der Glanz der Sonn' und die Reigen der Sterne.
Drehen wird er den Himmel; der Glanz des Mondes verschwindet.
Thäler wird er erhöhn und die Höhen der Hügel wegnehmen,
Und unter Menschen wird nicht mehr die Höhe verderblich sich zeigen.
Und das Gebirge wird gleich der Ebne, und jegliches Meer wird
Schiffahrt besitzen nicht mehr; denn vom Blitz ist entzündet die Erde
Sammt den Quellen, und auch die rauschenden Ströme versiegen.
Aber vom Himmel herab tönt kläglichen Laut die Trompete,
Werdende ruchlose That und der Welt ihre Leiden bejammernd.
Und die klaffende Erd' aufweist dann tartarisches Chaos.
Aber zu Gottes Richtstuhl werden kommen die Könige alle.
Und ein Strom von Feur und Schwefel wird fliessen vom Himmel.
Aber ein Zeichen wird dann für Alle, ein kenntliches Siegel
Für die Gläubgen das Holz sein, das Horn, nach dem man begehret,
Welches das Leben gewährt den Frommen, der Welt aber Anstoss,
Das die Berufnen mit Wasser durch zwölffache Quellen erleuchtet.
Und der eiserne Stab des Hirten wird alsdann regieren.
Das ist der unsrige Gott, beschrieben jetzt in Akrostichen,
Der Erlöser und König, unsterblich, der für uns gelitten;
Welchen Moses, ausstreckend die heiligen Arme, bezeichnet,
Als er besiegt Amalek durch Glauben, dem Volk zur Erkenntniss,
Dass er bei Gott dem Vater erwählt und in Ehren sein werde,
Er der Davids-Stab, und der Stein, welchen einst er verheissen,
Und wer glaubet an ihn, wird haben das ewige Leben.
Denn in Herrlichkeit nicht, als Mensch kömmt er zum Gerichte,
Elend, entehrt und entstellt, um den Elenden Hoffnung zu geben.
Und er wird geben Gestalt dem vergänglichen Fleisch, den Ungläub'gen
Himmlischen Glauben verleihn, und wird umgestalten den Menschen,
Welchen Gott selbst anfänglich gemacht mit eigenen Händen,
Und den mit List die Schlange verführt, um den Tod als den Antheil
Zu erhalten, von gut und von bös zu empfahn die Erkenntniss,
So dass verlassend den Herrn hinfälligen Bräuchen sie dienten.
Denn es nahm ihn zuerst als Rathgeber sich uranfänglich
Der Allherrscher und sprach: Sohn, lasset uns beide nun machen

Εἰκόνος ἐξ ἰδίης ἀπομαξάμενοι βροτὰ φῦλα·
Νῦν μὲν ἐγὼ χερσὶ, σὺ δ' ἔπειτα λόγῳ θεραπεύσεις
Μορφὴν ἡμετέρην, ἵνα κοινὸν ἀνάσταμα δῶμεν.
Γνώμης οὖν ταύτης μεμνημένος εἰς κρίσιν ἥξει,
Ἀντίτυπον μίμημα φέρων εἰς παρθένον ἁγνὴν,
Ὕδατι φωτίζων διὰ πρεσβυτέρων ἅμα χειρῶν,
Πάντα λόγῳ πράσσων, πᾶσαν δὲ νόσον θεραπεύων.
Τοὺς ἀνέμους παύσειε λόγῳ, στορέσει δὲ θάλασσαν
Μαινομένην ποσὶν, εἰρήνῃ πίστει τε πατήσας.
Ἐκ δ' ἄρτων ἅμα πέντε καὶ ἰχθύος εἰναλίοιο
Ἀνδρῶν χιλιάδας ἐν ἐρήμῳ πέντε κορέσσει,
Καὶ τὰ περισσεύοντα λαβὼν ἅμα κλάσματα πάντα,
Δώδεκα πληρώσει κοφίνους εἰς ἐλπίδα λαῶν.
Καὶ καλέσει ψυχὰς μακάρων, [ἐχθρούς] δ' ἀγαπήσει,
Οἳ καλὸν ἀντὶ κακοῦ χλευαζόμενοι πρήξουσι,
Τυπτόμενοι, μαστιζόμενοι, πενίην ποθέοντες.
Πάντα νοῶν καὶ πάντα βλέπων, καὶ πάντ' ἐπακούων,
Σπλάγχνα κατοπτεύσει καὶ γυμνώσει πρὸς ἔλεγχον·
Αὐτὸς γὰρ πάντων ἀκοὴ καὶ νοῦς καὶ ὅρασις,
Καὶ λόγος ὁ κτίζων μορφὰς, ᾧ πάνθ' ὑπακούει,
Καὶ νέκυας σώζων, πᾶσαν δὲ νόσον θεραπεύων.
Εἰς ἀνόμων χεῖρας καὶ ἀπίστων ὕστερον ἥξει,
Δώσουσι δὲ Θεῷ ῥαπίσματα χερσὶν ἀνάγνοις,
Καὶ στόμασι μιαροῖς ἐκπτύσματα φαρμακόεντα.
Δώσει δ' εἰς μάστιγας ἁπλῶς ἁγνὸν τότε νῶτον·
[Αὐτὸς γὰρ κόσμῳ παραδώσει παρθένον ἁγνήν.]
Καὶ κολαφιζόμενος σιγήσει, μήτις ἐπιγνῷ,
Τίς τίνος, ἢ πόθεν ἦλθεν, ἵνα φθιμένοισι λαλήσῃ.
Καὶ στέφανον φορέσει τὸν ἀκάνθινον· ἐκ γὰρ ἀκανθῶν
Τὸ στέφος ἐκλεκτῶν ἁγίων αἰώνιον ἥξει.
Πλευρά τε νύξουσι καλάμῳ διὰ τὸν νόμον αὐτῶν·
Ἐκ καλάμων γὰρ σειομένων ὑπὸ πνεύματος ἄλλου
Πρὸς κρίματα ψυχῆς ἐτράφη, ὀργῆς καὶ ἀμοιβῆς.
Ἀλλ' ὅτε ταῦτά γε πάντα τελειωθῇ, ἅπερ εἶπον,
Εἰς αὐτὸν τότε πᾶς λύεται νόμος, ὅστις ἀπ' ἀρχῆς
Δόγμασιν ἀνθρώπων ἐδόθη διὰ λαὸν ἀπειθῆ.
Ἐκπετάσει δὲ χέρας καὶ κόσμον ἅπαντα μετρήσει.
Εἰς δὲ τὸ βρῶμα χολὴν, καὶ πιεῖν ὄξος ἔδωκαν·
Τῆς ἀφιλοξενίης ταύτην τίσουσι τράπεζαν.
Ναοῦ δὲ σχίσθη τὸ πέτασμα, καὶ ἤματι μέσσῳ
Νὺξ ἔσται σκοτόεσσα πελώριος ἐν τρισὶν ὥραις.

Nach dem eigenen Bild abbildend die Stämme der Menschen:
Mit den Händen jetzt ich, dann sollst du hernach mit dem Worte
Sorgen für unsre Gestalt, dass Entstehung wir geben gemeinsam.
Dieses Beschlusses gedenk wird zum Gerichte er kommen,
Tragend das ähnliche Abbild hinein in die heilige Jungfrau,
Und im Wasser erleuchtend zumal durch die Hände der Priester,
Alles vollführend durchs Wort und heilend jegliche Krankheit.
Durch sein Wort stillt' er die Winde, und ging auf dem Meere,
Während es tobte, zu Fuss hinwandelnd in Frieden und Glauben.
Mit fünf Broden zumal und mit einem Fische des Meeres
Wird er fünftausend Mann satt machen in Mitte der Wüste,
Und, aufnehmend zugleich alle übrig verbliebenen Stücke,
Füllen zwölf Körbe damit noch an, eine Hoffnung der Völker.
Und der Seligen Seelen beruft er, wird lieben die [Armen],
Welche behandelt mit Spott nur Gutes für Böses vergelten,
Welche man geisselt und schlägt, und die nach Armuth sich sehnen.
Alles wissend und Alles sehend und Alles vernehmend,
Wird er das Innerste schaun und zur Ueberführung bloslegen:
Denn er ist das Gehör, der Verstand und das Sehen von Allem,
Und das Wort, das die Formen erschuf, dem Alles gehorchet,
Und der die Todten erlöst, und heilet jegliche Krankheit.
Kommen wird er zuletzt in der Gottlosen und der Ungläub'gen
Hände, und Schläge versetzt man dem Gott mit unheiligen Händen,
Speit mit besudeltem Mund ihn an und mit giftigem Speichel.
Und hingeben wird er zum Geisseln den heiligen Rücken;
[Denn überliefern wird er der Welt die heilige Jungfrau.]
Und er wird, wenn man ihn schlägt, stillschweigen, dass Keiner erkenne
Wer er sei, wessen, woher, um zu den Verstorbnen zu reden.
Und von Dornen den Kranz wird er tragen; denn immerdar kommen
Wird aus den Dornen der Kranz der Heiligen, welche erwählt sind.
Auch schlägt man mit dem Rohr seine Seiten, ob ihres Gesetzes:
Denn von dem Rohr das bewegt wird von einem anderen Geiste
Ward zum Gericht der Seele bestimmt er, zum Zorn und zur Strafe.
Aber wenn dann alles dies sich erfüllt hat, was ich geredet,
Dann wird jedes Gesetz aufgelöset in ihm, das von Anfang
Wegen des trotzigen Volks durch menschliche Satzungen aufkam.
Aber ausbreiten wird er die Händ' und die Welt ganz durchmessen.
Und sie reichten die Galle zur Speise, und Essig zum Trinken:
Dieser ungastliche Tisch wird ihnen die Strafe bewirken.
Und der Vorhang zerriss im Tempel, und mitten am Tage
Wird drei Stunden hindurch die gewaltige finstere Nacht sein.

Οὐκέτι γὰρ ναῷ κρυφίῳ τε νόμῳ τε λατρεύειν,
Φαντασίαις κόσμου κεκαλυμμένον, αὖθις ἐδείχθη,
Αὐθέντου καταβάντος ἐπὶ χθονὸς ἀενάοιο.
Ἥξει δ' εἰς ἀΐδην, ἀγγέλων ἐλπίδα πᾶσι
Τοῖς ἁγίοις, τέλος αἰώνων καὶ ἔσχατον ἦμαρ,
Καὶ θανάτου μοῖραν τελέσει, τρίτον ἦμαρ ὑπνώσας·
Καὶ τότ' ἀπὸ φθιμένων ἀναλύσας, εἰς φάος ἥξει,
Πρῶτος ἀναστάσεως κλητοῖς ἀρχὴν ὑποδείξας,
Ἀθανάτου πηγῆς ἀπολουσάμενοι ὑδάτεσσι
Τὰς πρότερον κακίας, ἵνα γεννηθέντες ἄνωθεν,
Μηκέτι δουλεύωσιν ἀθέσμοις ἤθεσι κόσμου.
Πρῶτα δὲ τοῖς ἰδίοις φανερῶς τότε Κύριος ἔσται
Σάρκινος, ὡς πάρος ἦν, χερσί τε ποσί τ' ἐπιδείξει
Τέσσαρα τοῖς ἰδίοις ἴχνη πηχθέντα μέλεσσιν,
Ἀντολίην τε, δύσιν τε, μεσημβρίην τε, καὶ ἄρκτον·
Τόσσαι γὰρ κόσμου βασιληΐδες ἐκτελέσουσι
Πρᾶξιν τὴν ἀθέμιστον ἐπίψογον εἰς τύπον ἡμῶν.
Χαῖρ', ἀγνὴ θύγατερ Σιών, καὶ πολλὰ παθοῦσα·
Αὐτός σου βασιλεὺς ἐπιβὰς ἐπὶ πῶλον ἐσάγει,
Πρᾶος πᾶσι φανείς, ἵνα τοι ζυγὸν, ὅπερ ὑπῆμεν,
Δοῦλον, δυσβάστακτον, ἐπ' αὐχένι κείμενον ἄρῃ,
Καὶ θεσμοὺς ἀθέους λύσῃ, δεσμούς τε βιαίους.
Αὐτόν σου γίνωσκε Θεὸν, Θεοῦ υἱὸν ἐόντα·
Τοῦτον δοξάζουσα, καὶ ἐν στέρνοισιν ἔχουσα,
Ἐκ ψυχῆς ἀγάπα, καὶ τοὔνομα βάστασον αὐτοῦ.
Τοὺς προτέρους δ' ἀπόθου, καὶ λῦσον ἀφ' αἵματος αὐτοῦ·
Οὐ γὰρ σαῖς οἰμαῖς ἱλάσκεται, οὔτε λιταῖσιν,
Οὐ θυσίαις προσέχει φθαρταῖς, ἄφθαρτος ὑπάρχων·
Ἀλλ' ὕμνον ἁγίου στόματος θυμῷ προφέροντος.
Γνῶθι τίς ἔσθ' οὗτος, καὶ τὸν γενετῆρα τότ' ὄψει.
Χηρεύσει τότε πάντα χρόνῳ στοιχεῖα τὰ κόσμου,
Ἀὴρ, γαῖα, θάλασσα, φάος πυρὸς αἰθομένοιο·
Καὶ πόλος οὐράνιος, καὶ νὺξ, καὶ ἤματα πάντα,
Εἰς ἓν πῦρ ἥξουσι καὶ εἰς μορφὴν πανέρημον.
Ἄστρα γὰρ οὐρανόθεν φωστήρων πάντα πεσεῖται.
Κοὐκέτι δὴ πτήσονται ἐπ' ἀέρος εὔπτεροι ὄρνεις,
Οὔτε βάσις γαίης· θῆρες γὰρ ἅπαντες ὀλοῦνται.
Κοὐκ ἀνδρῶν φωναὶ, οὐ θηρῶν, οὔτε πετεινῶν.
Κόσμος, ἄτακτος ἐών, οὐ χρήσιμον ἦχον ἀκούσει·
Ἠχήσει δὲ βαθὺς πόντος μέγαν ἦχον ἀπειλῆς,
Ζῶά τε νηκτὰ τρέμοντα θαλάσσης πάντα θανεῖται·

Denn dass nicht dienen man soll mehr dem Tempel und dunkeln Gesetze,
War durchs Gelüste der Welt verhüllt, und ward wieder gezeigt nun,
Da der Machthaber herab, der ewige, stieg auf die Erde.
Und zum Hades wird er hingehen und Hoffnung verkünden
Allen den Heil'gen, das Ende der Zeit und den letzten der Tage,
Und er wird enden das Loos des Todes, drei Tage entschlafen;
Dann löst er von den Todten sich los und kömmt zu dem Lichte,
Der Auferstehung Beginn zuerst den Berufenen zeigend,
Dass von der früheren Bosheit gereiniget ganz mit den Wassern
Des unsterblichen Quells und aufs Neue wieder geboren,
Nicht mehr der Welt abscheulichen Sitten dienstbar sie seien.
Aber alsdann wird zuerst der Herr offenbar für die Seinen
Sein, wie früher er war, leiblich, und an Händen und Füssen
Zeigt vier Male er auf in die eigenen Glieder gebohret,
Aufgang der Sonne, den Untergang auch und Mittag und Norden;
Denn soviel Reiche der Welt sinds, welche einst werden vollbringen
Jene gottlose That, die schändliche, uns zur Anklage.
Freu dich Sions heilige Tochter, die Vieles erduldet:
Einzieht er selbst, dein König, und sitzt auf dem Jungen des Esels;
Sanft erscheinet er Allen, damit er das Joch, das wir trugen,
Das auf dem Nacken uns lag, das schwere und sklavische, breche,
Und die gottlosen Satzungen tilge und drückenden Bande.
Als deinen Gott erkenne ihn an, ihn der Gottes Sohn ist;
Ihn verherrliche du und behalte ihn in dem Herzen,
Liebe herzinniglich ihn und trage du auch seinen Namen.
Aber die frühern entfern' und löse sie von seinem Blute.
Denn nicht wird er versöhnet durch Lieder von dir, oder Bitten,
Nicht um vergängliche Opfer bekümmert sich der, welcher ewig:
Sondern um heiligen Mundes Gesang aus reinem Gemüthe.
Wer dieser sei erkenn, und dann wirst du schaun den Erzeuger.
Oede werden dann sein die sämmtlichen Welt-Elemente,
Luft und Erde und Meer und das Licht des sengenden Feuers;
Und die himmlische Achse, die Nacht und die sämmtlichen Tage
Werden zu Einem Feur und einer gestaltlosen Masse.
Denn alle leuchtenden Sterne fallen vom Himmel herunter.
Nicht mehr werden die Luft durchfliegen gefiederte Vögel;
Auf der Erde kein Tritt; denn die Thiere gehn alle zu Grunde.
Keine Stimme ertönt von Menschen, von Thieren und Vögeln.
Keinen erspriesslichen Laut wird die Welt, die verwirrte, vernehmen.
Und die Tiefe des Meers lässt mächtige Drohung ertönen,
Und was schwimmet im Meer an Thieren wird Alles verenden.

Καὶ ναῦς φόρτον ἔχουσ᾽ ἐπὶ κύμασιν οὐκέτι πλεύσει.
Μυκήσει δὲ χθὼν αἱμασσομένη πολέμοισι.
Πᾶσαι δ᾽ ἀνθρώπων ψυχαὶ βρύξουσιν ὀδοῦσι,
Τῶν ἀνόμων ψυχῶν ὀλολυγμοῖσί τε φόβῳ τε,
Τηκόμενοι λιμῷ, δίψῃ, λοιμῷ τε, φόνοις τε,
Καὶ καλέσουσι καλὸν τὸ θανεῖν, καὶ φεύξετ᾽ ἀπ᾽ αὐτῶν·
Οὐκέτι γὰρ θάνατός τ᾽ αὐτοὺς, οὐ νὺξ ἀναπαύσει.
Πολλὰ δ᾽ ἐρωτήσουσι μάτην Θεὸν ὑψιμέδοντα,
Καὶ τότ᾽ ἀποστρέψει φανερῶς τὸ πρόσωπον ἀπ᾽ αὐτῶν.
Ἑπτὰ γὰρ αἰώνων μετανοίας ἧματ᾽ ἔδωκεν
Ἀνδράσι πλαζομένοις διὰ χειρὸς παρθένου ἁγνῆς.
Αὐτός μοι τάδε πάντα Θεὸς νόῳ ἐγκατέδειξεν,
Καὶ δι᾽ ἐμοῦ στόματος τὰ λελεγμένα πάντα τελέσσει.
Οἶδα ἐγὼ ψάμμων τ᾽ ἀριθμὸν, καὶ μέτρα θαλάσσης,
Οἶδα μυχοὺς γαίης, καὶ τάρταρον ἠερόεντα,
Καὶ μερόπων ὄντων τε, καὶ ἐσσομένων, νεκύων τε·
Οἶδ᾽ ἀριθμοὺς ἄστρων, καὶ δένδρεα, καὶ πόσα φῦλα
Τετραπόδων, νηκτῶν τε, καὶ ὀρνίθων πετεηνῶν.
[Αὐτὸς γὰρ μορφὰς ἀνδρῶν καὶ νοῦν ἐτύπωσεν,
Καὶ λόγον ὀρθὸν ἔδωκεν, ἐπιστήμην τ᾽ ἐδίδαξεν.]
Ὀφθαλμοὺς ὁ πλάσας καὶ ὦτα, βλέπων καὶ ἀκούων,
Καὶ πᾶν ἐνθύμημα νοῶν, πάντων τε συνίστωρ
Αὐτὸς ἐὼν, σιγῶν καὶ ὕστερον αὐτὸς ἐλέγχων,
Καὶ ἐκπράξων ὅσσα λαθών γε βροτῶν τις ἔπραξεν,
Ἐλθὼν καὶ ἐπὶ βῆμα Θεοῦ θνητοῖσι λαλήσων.
Καὶ κωφοῦ ξυνίημι, καὶ οὐ λαλέοντος ἀκούω,
Καὶ πόσον ἐστὶ τὸ πᾶν ἀπὸ γῆς εἰς οὐρανὸν ὕψος,
Ἀρχὴν καὶ τέλος οἶδα, ὃς οὐρανὸν ἔκτισα καὶ γῆν.
[Πάντα γὰρ ἐξ αὐτοῦ, τὰ ἀπ᾽ ἀρχῆς εἰς τέλος οἶδε.]
Μοῦνος γὰρ Θεός εἰμι, καὶ οὐκ ἔστι Θεὸς ἄλλος.
Εἰκόνα θεσπίζουσιν ἐμὴν, ληφθεῖσαν ἀφ᾽ ὕλης,
Χειρὶ δὲ μορφώσαντες ἐπ᾽ εἰδώλοισιν ἀναύδοις,
Δοξάζουσι λιταῖς καὶ θρησκείαισιν ἀνάγνοις.
Τὸν κτίστην προλιπόντες, ἀσελγείαις ἐλάτρευσαν.
Πάντες δ᾽ αὐτοῦ ἔχοντες ἀχρήσιμα δῶρα θύουσι,
Χὡς αὐτοῦ τιμὰς, τάδε χρήσιμα πάντα δοκοῦσι,
Θοίνῃ κνισσοῦντες, ὡς τοῖς ἰδίοις νεκύεσσιν.
Σάρκας γάρ τε καὶ ὀστεα μυελόεντα καίουσι,
Θύοντες βωμοῖς, καὶ δαίμοσιν αἷμα χέουσιν,
Καὶ λύχνους ἅπτουσιν ἐμοὶ τῷ φῶτα διδόντι,
Χὡς διψῶντι Θεῷ θνητοὶ σπένδουσι τὸν οἶνον,

Und kein befrachtetes Schiff wird mehr auf dem Wasser hinfahren.
Aber die Erde durch Krieg mit Blute gefärbt wird aufstöhnen.
Und Zähnknirschen wird dann alle Seelen der Menschen erfassen,
Derer die böse, und die durch Geheul, und welche durch Fürchten
Schwinden dahin, durch Hunger und Durst, durch Pest und Ermordung.
Und sie werden den Tod sich wünschen, doch flieht er vor ihnen:
Denn nicht mehr wird der Tod, nicht die Nacht ihnen Ruhe gewähren.
Und viel werden sie Gott, den Erhabnen, vergeblich anflehen,
Und sein Antlitz wird er dann offen von ihnen kehren.
Denn als Tage der Busse hat er sieben Zeiten gegeben
Durch der heiligen Jungfrau Hand den geschaffenen Menschen.
Gott selbst hat alles Dieses gelehrt mich in meinem Innern,
Und was durch meinen Mund er sprach, wird er Alles erfüllen.
Mir ist bekannt der Sandkörner Zahl und die Tiefe des Meeres,
Auch der Erde Geklüft und den dunkelen Tartarus kenn' ich,
Kenne die Menschen, die da sind, die kommen, und welche verstorben;
Kenne die Zahl der Sterne, die Bäume, und welche Geschlechter
Sind vierfüss'gen Gethiers, und an Fischen und fliegenden Vögeln.
(Denn er hat die Gestalt und den Geist der Menschen geschaffen,
Und die gesunde Vernunft verliehn und das Wissen gelehret.)
Ich der die Augen gemacht und die Ohren, der siehet und höret,
Und der jedes Gelüst erschaut und selber von Allem
Mitwisser ist, welcher schweigt und späterhin selber anklaget,
Und der bestraft, was der Sterblichen einer heimlich verübt hat,
Der mit den Sterblichen spricht, wann er kömmt zum göttlichen Richtstuhl.
Auch den Tauben vernehm' ich und höre den, welcher nicht redet,
Und wie gross von der Erde zum Himmel ist sämmtliche Höhe;
Anfang und Ende weiss ich, der den Himmel erschuf und die Erde
(Denn durch ihn ist das All, vom Anfang weiss er bis zu Ende.)
Denn ich bin der alleinige Gott und es gibt keinen andern.
Man vergöttert ein Bild von mir, genommen vom Holze
Und mit der Hand zu sprachlosen Götzen fertig gebildet,
Die verherrlichet man mit Flehen und unreinem Dienste.
Lassend den Schöpfer im Stich war man der Auschweifung dienstbar.
Alle von ihm abgewandt bringen nutzlose Gaben als Opfer,
Als sei die Ehre für ihn, und halten dies Alles für nützlich;
Lassen aufduften das Mahl, als gelt' es den eignen Verstorbnen.
Denn sie zünden das Fleisch an sammt den markigen Knochen,
Opfern auf dem Altar und spenden das Blut den Dämonen;
Lichter auch zünden sie an für mich, der gegeben das Licht hat,
Und als dürste der Gott, so libiren die Sterblichen Wein ihm;

Εἰς οὐδὲν μεθύοντες ἐπ᾽ ἀχρήστοισι θεοῖσιν.
Οὐ χρήζω θυσίης, οὐ σπονδῆς ὑμετέρηφιν,
Οὐ κνίσσης μιαρῆς, οὐχ αἵματος ἐχθίστοιο.
Ταῦτα γὰρ εἰς μνήμην βασιλήων ἠδὲ τυράννων
Δαίμοσι ποιήσουσι νεκροῖς, ὡς οὐρανίοισι,
Θρησκείαν ἄθεον καὶ ὀλέθριον ἐκτελέοντες.
Καὶ καλέουσι θεοὺς ἄθεοι τὰς εἰκόνας αὐτῶν,
Τὸν κτίστην προλιπόντες, ἀπ᾽ αὐτῶν ἐλπίδα πᾶσαν
Καὶ ζωὴν νομίσαντες ἔχειν, κωφοὶ καὶ ἄναυδοι,
Εἰς τὸ κακὸν πιστοί, ἀγαθὸν [δὲ] ὅλως ἀγνοοῦσιν.
Αὐτὸς ὁδοὺς προέθηκα δύο, ζωῆς θανάτου τε,
Καὶ γνώμην προέθηκ᾽ ἀγαθὴν ζωὴν προελέσθαι·
Αὐτοὶ δ᾽ εἰς θάνατον καὶ πῦρ αἰώνιον ἧψαν.
Εἰκών ἐστ᾽ ἄνθρωπος ἐμὴ, λόγον ὀρθὸν ἔχουσα.
Τούτῳ θὲς καθαρὰν καὶ ἀναίμακτόν σου τράπεζαν,
Πληρώσας ἀγαθῶν, καὶ δὸς πεινῶντι τὸν ἄρτον,
Καὶ διψῶντι ποτὸν, καὶ εἵματα σώματι γυμνῷ,
Ἐκ μόχθων ἰδίων πορίσας ἀγναῖς παλάμῃσι.
Θλιβόμενον κτίσαι, καὶ τῷ κάμνοντι παράστα,
Καὶ ζῶσαν θυσίαν ταύτην τῷ ζῶντι πόριζε.
Σπεῖρον ἐπ᾽ εὐσεβίῃ, ἵνα σοι κἀγὼ τάδε δώσω·
Καρποὺς ἀθανάτους, καὶ φῶς αἰώνιον ἕξεις,
Καὶ ζωὴν ἀμάραντον, ὅταν πυρὶ πάντας ἐλέγχω.
Χωνεύσω γὰρ ἅπαντα καὶ εἰς καθαρὸν διαλέξω,
Οὐρανὸν εἰλίξω, γαίης κευθμῶνας ἀνοίξω,
Καὶ τότ᾽ ἀναστήσω νεκροὺς, μοῖραν καταλύσας
Καὶ θανάτου κέντρον, καὶ ὕστερον εἰς κρίσιν ἥξω,
Κρίνων εὐσεβέων καὶ δυσσεβέων βίον ἀνδρῶν,
Καὶ κριὸν κριῷ, καὶ ποιμένα ποιμένι θήσω,
Καὶ μόσχον μόσχῳ πέλας ἀλλήλων ἐς ἔλεγχον·
Οἵτινες ὑψώθησαν ἐλεγχόμενοι ὑπ᾽ ἐλέγχων,
Καὶ στόμα παντὸς ἔφραξαν, ἵν᾽ αὐτοὶ ζηλώσαντες
Τοὺς ὁσίως πράσσοντας ἴσως καταδουλώσωσι,
Σιγᾷν προστάσσοντες, ἐπειγόμενοι διὰ κέρδος.
Καὶ δόκιμοι παρ᾽ ἐμοὶ τότε χωρήσουσιν ἅπαντες.
Οὐκέτι λοιπὸν ἐρεῖς λυπούμενος· αὔριον ἔσται,
Οὐκ· ἐχθὲς γέγονεν· οὐκ ἤματα μακρὰ μερίμνης,
Οὐκ ἔαρ, οὐχὶ θέρος, οὐ χειμὼν, οὐ μετόπωρον,
Οὐ δύσις, ἀντολίη· ποιήσω γὰρ μακρὸν ἦμαρ.
Εἰς δ᾽ αἰῶνα τὸ φῶς [μέγα καὶ] πεποθημένον ἔσται
Χριστὸς Ἰησοῦς, αἰώνων . . . . . .

Ohne Erfolg bei den nutzlosen Göttern werden sie trunken.
Opfer bedarf ich nicht, auch nicht eurer heiligen Spende,
Nicht des unreinen Dufts und nicht des verschütteten Blutes.
Denn dies bringt zum Gedächtniss der Könige oder Tyrannen
Den Dämonen man dar, den verstorbnen, als Himmelsbewohnern,
Einen Gottesdienst, der gottlos und verderblich, vollbringend.
Götter nennen sie auch, die Gottlosen, ihre Gebilde,
Lassend den Schöpfer im Stich, und von ihnen jegliche Hoffnung
Wähnend zu haben und Leben, die stumm und ohne Gehör sind,
Für das Schlechte verlassbar, des Guten gänzlich unkundig.
Ich habe selbst zwei Wege gesetzt, zum Leben und Tode,
Und ich gab den Befehl, das gute Leben zu wählen:
Sie aber haben gefasst zum Tod und zum ewigen Feuer.
Mein Bildniss ist der Mensch und begabt mit dem Sinne fürs Gute.
Diesem setze nun hin deinen Tisch, der rein und unblutig;
Fülle mit Gutem ihn an, und gebe das Brod dem, den hungert,
Und dem Dürstenden Trank und Gewänder dem nackenden Leibe,
Eigner Anstrengung Erwerb mit reinen Händen darreichend.
Den Betrübten richt' auf, und Beistand leiste dem Müden,
Und dem lebendigen Gott darbringe dies lebende Opfer.
Säe in Frömmigkeit aus, dass ich dir auch dieses vergelte;
Eine unsterbliche Frucht und ewiges Licht wirst du haben,
Und nicht welkendes Leben, wenn Alle im Feuer ich prüfe.
Denn Alles schmelze ich um und werd' es auslesen zur Reinheit,
Rolle den Himmel zusammen und öffne die Höhlen der Erde,
Wecke die Todten dann auf, nachdem ich gelöset das Schicksal
Und den Stachel des Tods, und nachher komm' ich zum Gerichte,
Richtend das Leben der frommen so wie der gottlosen Menschen;
Und zum Bocke den Bock und den Hirten stell' ich zum Hirten,
Und zum Kalbe das Kalb, zu einander zur Ueberführung.
Durch den Beweis überführt werden, die sich hatten erhöhet,
Und die jedwedes Mund verstopft, damit sie voll Neides
Ebenso unter das Joch die brachten, die rechtlich gehandelt;
Welche Stillschweigen geboten, getrieben von schnöder Gewinnsucht.
Und die Bewährten bei mir werden alle dann Plätze einnehmen.
Nicht wird man dann mehr betrübt aussprechen: Morgen wird es sein,
Auch nicht: Gestern war es; nicht giebts lange Tage der Sorge,
Nicht giebts Frühling, nicht Sommer, nicht Winter, oder auch Spätherbst,
Aufgang und Untergang nicht: einen langen Tag werd' ich machen.
Aber in Ewigkeit wird das grosse ersehnete Licht sein
Christus Jesus, in Ewigkeit . . . . . .

* * *

Αὐτογέννητος, ἄχραντος, ἀένναος, ἀΐδιός τε,
[Οὐράνιος], ἰσχύϊ μετρῶν πυρόεσσαν ἀϋτμὴν·
Καὶ πατάγου σκῆπτρον κατέχει σὺν ἀπηνέϊ πυρσῷ,
Πρηΰνει τε βαρυκτυπέων δουτήματα βροντῶν,
Γῆν κλονέων κατέχει ῥοιζήματα [ἠελίοιο],
Καὶ στεροπῶν μάστιγας ἀπαμβλύνει πυροφεγγεῖς,
Ὄμβρων δ' ἄσπετα χεύματα, [εἰαρινῆς] τε χαλάζης,
Κρυμαλέης νεφελῶν τε βολῆς, καὶ χείματος ὁρμῆς.
Αὐτοὶ [μὲν] γὰρ ἕκαστα νόῳ διατεκμαίρονται,
Ὅσσα περ αὐτῷ σοι δοκέει, πρήσσειν τ' ἐπινεύεις,
Σῷ παιδὶ πρὸ κτίσεως πάσης στέρνοισι πεφυκὼς
Σύμβουλος, πλάστης μερόπων, κριτής τε βίοιο.
Ὃν πρώτῃ στόματος γλυκερῇ προσφθέγξαο φωνῇ·
Ποιήσωμεν ἴδιον πανομοΐιον ἀνέρα μορφῇ
Ἡμετέρῃ, καὶ δῶμεν ἔχειν ζωαρκέα πνοιήν·
Ὦι, θνητῷ περ ἐόντι, τὰ κοσμικὰ πάντα λατρεύσει,
Καὶ χοϊκῷ πλασθέντι τὰ πάνθ' ὑποτάξομεν αὐτῷ.
Ταῦτα δ' ἔφησθα Λόγῳ, τῇ σῇ φρενὶ πάντα δ' ἐτύχθη·
Πάντα δ' ὁμοῦ στοιχεῖα κελεύσματι πείθετο τῷ σῷ,
Καὶ κτίσις ἀΐδιος συνετάσσετο πλάσματι θνητῷ,
Οὐρανὸς, ἀὴρ, πῦρ, χθών γε, καὶ χεῦμα θαλάσσης,
Ἥλιος, μήνη, χορὸς ἄστρων, οὔρεά τ' ἦμαρ,
Εὐφρόνη, ὕπνος, ἔγερσις, πνεῦμα καὶ ὁρμὴ,
Ψυχὴ καὶ σύνεσις, τέχνη, φωνή τε καὶ ἀλκὴ,
Ζώων τ' ἄγρια φῦλα τὰ νηκτῶν καὶ πετεεινῶν,
Πεζῶν τ', ἀμφιβίων τε, καὶ ἑρπετέων, διφυῶν τε·
Πάντα γὰρ αὐτός σοι συνετάσσετο σῇ ὑπ' ἀγωγῇ.
Ὑστατίοις δὲ χρόνοις χθόν' ἀμείψατο, καὶ βραχὺς ἐλθὼν
Παρθένου ἐκ Μαρίας λαγόνων ἀνέτειλε νέον φῶς,
Οὐρανόθεν δὲ μολὼν βροτέην ἐνεδύσατο μορφήν.
Πρῶτα μὲν οὖν Γαβριὴλ σθεναρὸν δέμας ἀγνὸν ἐδείχθη·
Δεύτερα καὶ κούρην αὐτάγγελος ἔννεπε φωνῇ·
Δέξαι ἀχράντοισι Θεὸν σοῖς, παρθένε, κόλποις.
Ὣς εἰπὼν ἐπένευσε Θεὸς χάριν· ἡ δ' ἀεὶ κούρη,
(Τὴν ἄρα τάρβος ὁμοῦ, θάμβος θ' ἕλεν εἰσαΐουσαν),
Στῆ δ' ἄρ' ὑποτρομέουσα· νόος δέ οἱ ἐπτοίητο,
Παλλομένης κραδίης ὑπ' ἀγνώστοισιν ἀκουαῖς.
Αὖθις δ' εὐφράνθη καὶ ἰάνθη κέαρ αὐδῇ,
Κουρίδιον δ' ἐγέλασσε, νέην δ' ἐρύθηνε παρειὴν,

* * *

Nicht erzeugt und rein, beständig während und ewig,
Himmlisch, und welcher mit Macht zumisst den feurigen Odem.
Und festhält er den rollenden Stab mit dem schrecklichen Feuer,
Und er mildert das Rollen des furchtbar krachenden Donners;
Festhält er auch die Erde und wälzt die eilende [Sonne],
Und ermässigt dem Blitz die feurig leuchtende Geissel,
Und des Regens gewaltige Güsse, den Hagel im Frühling,
So wie den Fall des frostigen Schnees und die tobenden Wetter.
Denn jed' Einzelnes durch den Verstand vertheilen sie sorgsam,
Wie es dir selber gefällt, und was zu thun du bewilligst,
Der du dem Sohn vor jeglicher Schöpfung vertrauter Rathgeber
Warst, der die Menschen gemacht, der du bist ein Richter des Lebens.
Den du zuerst ansprachst mit der lieblichen Rede des Mundes:
Lasst einen eigenen Menschen, ganz ähnlich unsrer Gestaltung,
Machen uns, und ihm verleihn einen Leben erhaltenden Athem.
Dem, ob auch sterblich er ist, wird doch in der Welt Alles dienen,
Ihm aus Erde geformt werden wir Alles doch unterwerfen.
Dies sprachst du zu dem Wort, und Alles ward wie du es wolltest;
Die Elemente zumal waren deinem Befehle gehorsam,
Und mit sterblicher Bildung vereint ward die ewige Schöpfung,
Himmel und Luft und Feuer und Erde, die Fluthen des Meeres,
Sonne und Mond, der Sterne Chor, die Berge, die Tage,
Nacht und Schlaf, das Erwachen, der Geist und das Unternehmen,
Seele, verständiger Sinn, und Kunst, die Sprache, die Stärke,
Und das wilde Geschlecht der Thiere, der Fische und Vögel,
Landthiere und Amphibien, Schlangen und Doppelnaturen:
Denn Alles hat er mit dir unter deiner Leitung vereinigt.
Aber zuletzt in der Zeit hat die Erd' er verändert; ein Kind kam
Aus der Jungfrau Maria Leib, und aufging ein neues
Licht, und vom Himmel er kam und zog der Menschen Gestalt an.
Gabriel zeigte zuerst in reiner und mächt'ger Gestalt sich.
Drauf anredend er sprach als Bote selber zur Jungfrau:
Nimm, o Jungfrau, Gott in den unbeflecketen Schooss auf.
Sprachs, und Gnade verlieh Gott. Sie aber, welche stets Jungfrau,
Schrecken befiel sie zumal und Furcht, als sie dieses anhörte;
Und so stand sie da bebend; ihr Geist aber war sehr beängstigt,
Und es erbebte das Herz ihr vor der fremden Verkündung.
Aber nachher war erfreut und heiter ihr Herz durch die Rede,
Und es lächelt das Mägdlein, von Jugend die Wangen geröthet,

Χάρματι τερπομένη, καὶ θελγομένη φρένας αἰδοῖ.
Καί οἱ θάρσος ἐπῆλθεν. Ἔπος δ᾽ εἰσέπτατο νηδύν·
Σαρκωθὲν δὲ χρόνῳ, καὶ γαστέρι ζωογονηθὲν,
Ἐπλάσθη βροτέην ἰδέην, καὶ κοῦρος ἐτύχθη
Παρθενικοῖς τοκετοῖς· τόδε γὰρ μέγα θαῦμα βροτοῖσιν,
Ἀλλ᾽ οὐδὲν μέγα θαῦμα Θεῷ πατρὶ καὶ Θεῷ υἱῷ.
Τικτόμενον δὲ βρέφος ποτὶ δ᾽ ἔπτατο γηθοσύνη χθών,
Οὐράνιος δ᾽ ἐγέλασσε θρόνος, καὶ ἀγάλλετο κόσμος.
Καινοφανὴς δὲ μάγοισι σεβάσθη θέσφατος ἀστήρ,
Σπαργανωθὲν δὲ βρέφος δείχθη θεοπειθέσι φάτνῃ·
Καὶ Λόγου Βηθλεὲμ πατρὶς θεόκλητος ἐλέχθη
Βουτελάταις τε καὶ αἰγονόμοις καὶ ποιμέσιν ἀρνῶν.

* * *

Ἐν κραδίῃ τε ταπεινοφρονεῖν, πικρὰ τέρματα μισεῖν,
Καὶ πάντως ἀγαπᾶν τὸν πλησίον, ὥσπερ ἑαυτόν·
Καὶ Θεὸν ἐκ ψυχῆς φιλέειν, αὐτῷ δὲ λατρεύειν.
Τοὔνεκ᾽ ἄρ᾽ ἡμεῖς, [ἐξ] ὅσιης Χριστοῖο γενέθλης
Οὐρανίης πεφυῶτες, ἐπικλεόμεσθα σύναιμοι,
Μνῆστιν εὐφροσύνης ἐπὶ θρησκείῃσιν ἔχοντες,
Εὐσεβίης τε καὶ ἀτρεκίης βαίνοντες ἀτραπούς.
Οὐδέποτε πρὸς νηῶν ἀδύτοις ἐώμεσθα πελάζειν,
Οὐ ξοάνοις σπένδειν, οὐτ᾽ εὐχωλῇσι γεραίρειν,
Οὐδ᾽ ὀδμαῖς ἀνθῶν πολυτερπέσιν, οὐδὲ μὲν αὐγαῖς
Λαμπτήρων, ἀτὰρ οὐδ᾽ ἄρα τοὺς ἀναθήμασι κοσμεῖν,
Οὐ λιβάνου ἀτμοῖσιν ἀνιεῖσι φλόγα βωμόν·
Οὐδ᾽ ἐπὶ ταυροθύτοις [μηλοσφαγίας μετὰ λώβης
Λυθροχαρεῖς] πέμπειν, χθονίας αἰνίγματα ποινῆς·
Οὐδ᾽ ἀπὸ σαρκοβόροιο πυρῆς κνισσώδεϊ καπνῷ
Καὶ μιαραῖς πνοαῖσι μιαίνειν αἰθέρος αὐγήν·
Ἀλλ᾽ ἁγναῖς παπίδεσσι γεγηθότες εὔφρονι θυμῷ,
Ἀφνείαις τ᾽ ἀγάπῃσι, καὶ εὐδώροις παλάμῃσι,
Μειλιχίοις ψαλμοῖσι, θεοπρεπέεσσί τε μολπαῖς
Ἄφθιτον ἐξυμνεῖν σε καὶ ἄψευστον κελόμεσθα,
Παγγενετῆρα Θεὸν, πινυτόφρονα . . . . . .

Höchlich erfreut und durch schämige Furcht die Freude beschwicht'gend.
Und sie ermuthigte sich. Doch im Mutterschoosse das Wort war,
Fleischgeworden zur Zeit und erzeuget im Leibe der Mutter,
Ward mit Menschengestalt es begabt, und wurde ein Knäblein
Durch der Jungfrau Geburt; zwar ein grosses Wunder den Menschen,
Aber bei Gott dem Vater und Gott dem Sohne kein grosses.
Aber ankam unerwartet das Kind, dess freut sich die Erde,
Und es lachte der himmlische Thron, das Weltall frohlockte.
Und den prophetischen Stern, den fremden, anstaunten die Magier,
Und in der Krippe das Kind in Windeln den frommen gezeigt ward.
Bethlehem ward als des Worts von Gott gewählete Heimath
Auch den Hirten genannt der Rinder, der Ziegen und Schafe.

* * *

Und in dem Herzen demuthsvoll sein, böse Pläne zu meiden,
Und den Nächsten durchaus zu lieben, so wie man sich selbst liebt;
Gott auch von Herzen zu lieben, zu sein ihm dienstbar ergeben.
Denn wir sind aus Christi heiligem, himmlischem Stamme
Ja entsprossen, genannt werden wir die Verwandten des Blutes,
Da wir in seinem Dienst der Wonne Gedächtniss besitzen,
Da wir der Frömmigkeit und der Aufrichtigkeit Pfade nur wandeln.
Niemals dürfen wir nahn den innersten Räumen der Tempel,
Spenden den Götzen auch nicht, und mit Gebeten sie ehren:
Nicht mit der Blumen Geruch, dem erquicklichen, nicht mit des Lichtes
Leuchtendem Glanze, und nicht mit Weihgeschenken sie ehren,
Noch mit des Weihrauches Duft, der die Flamme emporschickt, den Altar;
Nicht wo man opfert den Stier, von Schafen mit schimpflichem Loskauf
Hinzusenden ein Opfer, der irdischen Strafe Geheimniss.
Auch nicht mit fettigem Rauch vom Fleisch verzehrenden Holzstoss,
Und mit unreinem Duft den Glanz des Aethers beflecken:
Sondern mit reinem Gemüth und froh mit heiterem Herzen
Und mit reichlicher Lieb' und mit freigiebigen Händen,
Mit anmuthigen Psalmen und Gotteswürdigem Sange,
Aufrichtig und immerdar, ist Befehl uns dich zu besingen
Dich, Gott, Vater des All, den weisen . . . . .

ΤΩΝ ΣΙΒΥΛΛΙΑΚΩΝ

ΧΡΗΣΜΩΝ

ΛΟΓΟΣ ΕΝΝΑΤΟΣ (ΕΝΔΕΚΑΤΟΣ).

Κόσμε πολυσπερέων ἀνδρῶν, καὶ τείχεα μακρὰ,
Καὶ πόλιες ἄπληστοι, δ᾽ ἔθνεά τε μυριόεντα,
Ἀντολίης, δύσεώς τε, μεσημβρίης τε, καὶ ἄρκτου,
Παντοδαπαῖς φωναῖς μεμερισμένα καὶ βασιλείαις·
Ἀλλ᾽ ἅπερ ὑμῶν μέλλω τὰ κάκιστ᾽ ἀγορεύειν.
Ἐξ οὗ γὰρ κατακλυσμὸς ἐπὶ προτέρους γένετ᾽ ἄνδρας,
Καὶ γενεὴν πενίην ἐξώλεσεν ὕδασι πολλοῖς,
Αὐτὸς ὁ παντοκράτωρ ἕτερον δὲ γένος πόρεν ἄλλο
Ἀκαμάτων ἀνδρῶν· οἳ οὐρανὸν ἀντιφέροντες
Πύργον δομήσαντες ἀθέσφατον ὕψος· ἀπ᾽ ἄλλων
Γλῶσσαι δ᾽ αὖτ᾽ ἐλύθησαν. Ἐπ᾽ αὐτοὺς δ᾽ ἦλυθεν ὀργὴ
Ὑψίστου Θεοῦ βεβολημένη, κάππεσε πύργος
Ἄσπετος· οἱ δὲ κακὴν γὰρ ἐπ᾽ ἀλλήλους ἔριν ὦρσαν.
Λὴ τότε καὶ δεκάτη γενεὴ μερόπων ἀνθρώπων,
Ἐξ οὗ ταῦτ᾽ ἐγένοντο· μερίζετο γαῖα δ᾽ ἅπασα
Ἀλλοδαπῶν ἀνδρῶν καὶ παντοδαπῶν διακλέκτων,
Ὧν ἀριθμοὺς λέξω καὶ ἀκροστιχίοις ὀνομήσω
Γράμματος ἀρχομένου, καὶ τοὔνομα δηλώσαμι.
Πρώτη δ᾽ Αἴγυπτος βασιλίδα δέξεται ἀρχὴν
Ἔξοχον ἠδὲ δίκαιον· ἔπειτα δὲ φῶτες ἐν αὐτῇ
Πολλοὶ ἐπάρξουσι βουληφόροι· αὐτὰρ ἔπειτα
Ἄρξει δεινὸς ἀνὴρ κρατερώτερος ἀγχιμαχητὴς·
Οὔνομα δὲ σχήσει τοῦ ἀκροστιχίου τὸ γράμμα,
Φάσγανα δ᾽ ἐκτανύσειε κατ᾽ εὐσεβέων ἀνθρώπων.
Σῆμα δ᾽ ἔσται ἐκείνῳ μέγα τούτου κρατέοντος
Γαίῃ ἐν Αἰγύπτῳ, ἥτις μέγα κυδαίνουσα·

SIBYLLINISCHE WEISSAGUNGEN.

NEUNTES (EILFTES) BUCH.

Welt der weit ausgebreiteten Menschen, gedehnete Mauern,
Und ihr Städte, zu sättigen nicht, und ihr zahllosen Völker,
Wo sich die Sonne erhebt, und von Abend und Mittag und Norden,
Vielfach in Sprachen getheilt, und getheilet in herrschende Reiche!
Aber was unter euch ist das Uebelste, will ich verkünden.
Denn seitdem als die Fluth auf die ersten Menschen hereinbrach,
Und ein elend Geschlecht mit gewaltigen Wassern vertilgte;
Da brachte er, der Alles beherrscht, ein ander Geschlecht auf,
Rastloser Männer Geschlecht, die, gegen den Himmel im Aufruhr,
Von unermesslicher Höh' einen Thurm aufbauten. Von Andern
Kamen die Sprachen darauf. Ueber sie jedoch kam von dem höchsten
Gotte herab der treffende Zorn, und der riesige Thurm fiel.
Die aber gegen einander entbrannten im heftigen Zorne.
Damals lebte das zehnte Geschlecht der kurzlebigen Menschen,
Drauf als dieses geschah. Da theilte die sämmtliche Erde
Unter fremdartige Menschen sich, und in verschiedene Sprachen.
Sagen will ich die Zahl davon, in Akrostichen sie nennen,
So wie der Buchstab beginnt, und will auch den Namen angeben.
Erstlich wird die Königsgewalt, eine grosse und gute,
An Aegypten verliehn. Aber dann werden sich in dem Lande
Viele rathkundige Männer erheben; und herrschen wird darauf
Ein sehr gewaltiger Mann, ein mächtiger Schwinger des Speeres.
Aber den Buchstaben des Akrostichs wird als Namen er tragen;
Und er wird zücken das Schwert den gottseligen Menschen entgegen.
Aber ein Zeichen wird, wann dieser herrscht, ihm werden, ein grosses
In der Aegyptier Land, das grossen Ruhmes sich freuet.

Ὀλλυμένας ψυχὰς λιμῷ τότε σιτοδοτήσει
Ἀντολίη, θρέψει ἠδ' Ἀσσυρίων γένος ἀνδρῶν
Αὐτὸς δεσμώτης ὁ δικασπόλος, οὔνομα δ' αὐτοῦ
Ἴσθιν . . . μέτρου δεκάτου ἀριθμοῖο.
Ἀλλ' ὁπόταν ὁ δεκάπληγος ἀπ' οὐρανοῦ αἰγλήεντος
Ἥξει ἐπ' Αἴγυπτον, τότε σοι πάλιν ταῦτα βοήσω.
Αἶ αἶ σὺ, Μέμφι, αἶ αἶ σὺ, μεγάλη βασιλεία·
Ἐξολέσειε λαόν σου πολὺν Ἐρυθραῖα θάλασσα.
Ἐν δ' ὁπόταν λείψωσι πέδον πολύκαρπον ὄλεθρον,
Λαὸς ὁ δωδεκάφυλος ἀπ' ἀθανάτοιο κελευσθεὶς,
Καὶ μόνος αὐτὸς ἄναξ δώσει Θεὸς ἀνθρώποισιν.
Ἑβραίοις δ' ἄρ' ἔπειτα μέγας βασιλεὺς μεγάθυμος
Ἄρξει ἐπ' Αἴγυπτον, ψαμμαθώδεος οὔνομ' ἔχων τι,
Ψευδόπατρις Θηβαῖος ἀνὴρ· Μέμφιν δ' ἀγαπήσει,
Δεινὸς ὄφις, καὶ πολλὰ φυλάξεται ἐν πολέμοισι.
Δωδεκάτης δεκάδος δὲ περιτελλομένης βασιλείας,
Ἑπτ' ἐπὶ καὶ δεκάτης ἐς ἔω ἑκατοντάδος ἄλλων
Πάντ' ἐπιλειπομένων, τότε δὴ [καὶ] Περσίδος ἀρχή.
Καὶ τότε Ἰουδαίοις σκότος ἔσσεται, οὐδὲ φυγοῦνται
Λιμὸν καὶ λοιμὸν δυσανάσχετον ἤματι κείνῳ.
Ἀλλ' ὁπόταν ἄρξῃ Πέρσης, καὶ σκῆπτρα προλείψῃ,
Υἱὸς Ἰωνοῖο, περιτελλομένων ἐνιαυτῶν
Εἰς μούνας πέντε τετράδας, δεκατεύσει δὲ ταύτας
Ἐννεάδας τελεθεὶς ἑκατὸν, καὶ πάντ' ἀποτίσεις·
Καὶ τότ' ἔσῃ Πέρσῃσι λάτρις Μήδοισι δοθεῖσα,
Πληγαῖς ὀλλυμένη, διά τε κρατερᾶς ὑσμίνης.
Αὐτίκα δὴ Πέρσαισι καὶ Ἀσσυρίοις κακὸν ἔσται,
Πάσῃ τ' Αἰγύπτῳ, Λιβύῃ τ' ἠδ' Αἰθιόπεσσι,
Καὶ πᾶσι Παμφύλοισιν, ἠδ' ἄλλοις πᾶσι βροτοῖς.
Καὶ τότε Ἰωνοῖς δώσει βασιλήϊον ἀρχὴν,
Οἳ πάλιν πορθήσουσι γένη, πολλοῖς τε λαφύροις
Γαῖαν ἀφαρπάζοντες ὅλην, μὴ συμπαθέοντες.
Αἴλινα θρηνήσουσι λυγροὶ παρὰ Τίγριδι Πέρσαι,
Αἴγυπτος δακρύσει, πολλὴν χθόνα δ' ἀρδεύσειεν.
Καὶ τότε σοι Μηδία τεῇ κακὰ πολλὰ ποιήσει
Ἰνδογενὴς πολύολβος, ἄχρι πάντ' ἀποτίσεις,
Ὅσσα πάρος πεποίηκας, ἀναιδέα θύμον ἔχουσα.
Αἶ αἶ σοι, Μήδειον ἔθνος, μετέπειτα λατρεύσεις
Ἀνδράσιν Αἰθιόπεσσιν, ὑπὲρ μεροειδέα χῶρον
Ἑπτ' ἐπὶ τοῖς προσθεὶς ἑκατὸν λυκάβαντας ἀπ' ἄρκτου
Πληρώσεις δύστηνε, καὶ ὑπὸ ζυγὸν αὐχένα θήσεις.

Seelen vom Hunger verzehrt wird dann das Land gegen Aufgang
Mit Getreide versehn; den Stamm der Assyrischen Männer
Wird er ernähren, der Richter in Banden, dess Namen genannt wird:
Wisse . . . . . im Maasse der Zehnzahl.
Aber wann zehnfach dereinst die Plage vom strahlenden Himmel
Ueber Aegyptien kommt, dann will ich dir wieder zurufen.
Wehe dir, Memphis, weh, weh, weh, weh, o gewaltiges Reich du!
Das Erythräische Meer wird ein zahlreiches Volk dir vernichten.
Wann aber sie das fruchtbare Land im Tode verlassen,
Wird das zwölfstämmige Volk vom unsterblichen Gotte befehligt,
Und der alleinige Herr wird [Ruhm] den Menschen verleihen.
Aber ein grosser, hochherziger König wird dann, ein Hebräer,
Die Aegypter beherrschen, vom Sande den Namen her habend,
Nicht mit Recht ein Thebaner genannt. Doch wird Memphis er lieben;
Eine erschreckliche Schlange; und viel wird im Krieg er sich vorsehn.
Und wann die zwölfte Dekade des Reichs im Laufe sich kreiset,
Sieben dazu, und das zehnte Hundert im Osten, und alle
Andern vorübergeflohn; dann wird Persiens Herrschaft beginnen.
Dann wird auch Finsterniss sein bei den Juden; nicht werden entrinnen
Sie dem Hunger und schwer zu ertragender Pest jenes Tages.
Aber wenn dann ein Perser geherrscht und das Scepter gelassen,
Eines Joniers Sohn, wann die Jahre kreisen auf fünfmal
Vier der Jahre allein; dann wird es einzehnten auch dieser
Jahre neunhunderte voll, und du wirst dann büssen für Alles;
Wirst im Dienste der Perser dann sein, überliefert den Medern,
Gehst durch Schläge zu Grund und durch die gewaltige Feldschlacht.
Bald aber wird auch die Perser und Assur das Unglück heimsuchen,
Ganz Aegyptien auch, und die Libyer und Aethioper,
Alle Pamphylier, und auch alle die anderen Menschen.
Und den Joniern wird er die Königs-Herrschaft verleihen.
Die werden dann wiederum die Stämme ausplündern, um viele
Beute beraubend die sämmtliche Erde ganz ohne Erbarmen.
Kläglich werden voll Leids die Perser dann weinen am Tigris;
Und auch Aegypten wird weinen, und könnte viel Landes bewässern.
Dann wird auch, Medien, dir des Uebels in Fülle bereiten
Ein sehr glücklicher Indischer Spross, bis dass du gebüsset
Alles, was du hast früher gethan unverschämten Gemüthes.
Wehe dir, weh, o Medisches Volk, wirst später ein Sklave
Der Aethiopier sein, und über durchschnittenes Land weg
Sieben und weiter noch hundert dazu der Jahre von Norden
Füllen, unglückliches, aus und beugen dem Joche den Nacken.

Καὶ τότε κυανόχρως πολιοπλόκαμος μεγάθυμος
Ἰνδὸς ἄναξ μετέπειτα γενήσεται, ὃς κακὰ πολλὰ
Θήσει ἐπ᾽ ἀντολίης διὰ κρατερὰς ὑσμίνας·
Καὶ σέ γε λωβήσει, μᾶλλον παρὰ πάντας ὀλέσσει.
Ἀλλ᾽ ὅταν εἰκοστὸν ἔτος καὶ δέκατον βασιλεύσῃ,
Ἑπτ᾽ ἐπὶ καὶ δεκάκις, τότε δὴ βασιληΐου ἀρχῆς
Πᾶν ἔθνος οἰστρήσει καὶ ἐλευθέριον ἀναδείξει,
Λείψας δούλειον αἶμ᾽ ἐπὶ τρεῖς μονάδας ἐνιαυτῶν.
Ἀλλὰ πάλιν ἥξει καὶ ὑπὸ ζυγὸν αὐχένα θήσει,
Πᾶν ἔθνος ἀνθρώπων κρατερῶν πάλιν, ἦ πάρος ἦεν
Δουλεύων βασιλεῖ, καὶ ἑκουσίως ὑποτάξει.
Ἔσσεται εἰρήνη μεγάλη κατὰ κόσμον ἅπαντα.
Καὶ τότε δ᾽ Ἀσσυρίοις βασιλεὺς μέγας ἔσσεται ἀνήρ·
Ἄρξει, καὶ πάντας πείσει καταθύμια βάζειν,
Ἄσσα Θεὸς νομίμως διετάξατο· καὶ τότε τοῦτον
Φρίξουσι πάντες βασιλεῖς κομόωντες ἀκωκαῖς,
Λειμαλέοι, καὶ ἄναυδοι, ὑπερμενέες τ᾽ ἐρατωποὶ,
Τούτῳ δουλεύσουσι Θεοῦ μεγάλου διὰ βουλάς·
Πείσει γὰρ τὰ πάντα λόγῳ, καὶ πάνθ᾽ ὑποτάξει,
Καὶ ναὸν μεγάλοιο Θεοῦ καὶ βωμὸν ἐρανὸν
Αὐτὸς δομήσει κρατερῶς, εἴδωλα δὲ ῥίψει·
Φῦλα δὲ καὶ γενεὴν πατέρων, καὶ νήπια τέκνα,
Εἰς ἓν συγκομίσας οἰκήτορας ἀμφιβαλεῖται·
Οὔνομα δὲ σχήσειε διακοσίων ἀριθμοῖο,
Ὀκτωκαιδεκάτης γραμμῆς σημεῖα δείξει.
Ἀλλ᾽ ὁπόταν δεκάτην περιτελλομένῃσι κρατήσῃ,
Τοῖς δύο καὶ πέντε προσελθὼν ἐπὶ τέρμα χρόνοιο,
Ἔσσονται δὲ τοῖς [οἱ] βασιλεῖς ὅσα φυτὰ τὰ θνητῶν,
Ὅσσαι δὲ φῆται, ὅσσαι πόλεις, ὅσσαι δὲ νῆσοι,
Ἤπειροι μακάρων, ἠδ᾽ ἀγλαόκαρποι ἄρουραι.
Εἷς ἔσται δὲ τούτων μέγας βασιλεὺς ἀγὸς ἀνδρῶν,
Ἄρξουσι δ᾽ αὐτῷ πολλοὶ βασιλεῖς μεγάθυμοι,
Καὶ τούτῳ, παισί τε, καὶ υἱωνοῖς πολυόλβοις
Δώσουσι μοίρας βασιλίδος εἵνεκεν ἀρχῆς.
Εἰς δεκάδας δεκάδων, ὀκτὼ μονάδας, ἐπὶ ταύταις
Ἓξ ἐτέων ἄρξει, καὶ ἐς ὕστατον ἀντειλοῦσιν.
Ἡνίκα θὴρ βρίαρος δ᾽ ἥξει σὺν ἄρῃ κραταιῷ,
Καὶ τότε [σοι], βασιλεῖς ἀγανοὶ, χόλος ἐξαναφύσει.
Αἲ αἲ σοι, Πέρσις γῆ, ὅσσα ἐκχύματα δέξῃ
Αἵματος ἀνδρομέου, ὁπόταν ἥξει σοι ἐκεῖνος
Ὀμβριμόθυμος ἀνήρ· τότε σοι πάλιν ταῦτα βοήσω.

Und dann wird ein dunkelgefärbter, graulockiger, edler
Indischer Herrscher erstehn nachher, und dieser wird viele
Uebel dem Orient bringen vermittelst gewaltiger Feldschlacht.
Dich auch beschädiget er, wird dich mehr als alle vernichten.
Aber wann er das zwanzigste Jahr und das zehnte geherrscht hat,
Ferner noch sieben und zehn; dann wird gegen die Herrschaft des Königs
Jegliches Volk sich empören und sich die Freiheit erwerben,
Lassend das Sklaven-Geblüt auf drei vereinzelte Jahre.
Aber er kömmt wiederum und leget dem Nacken das Joch auf,
Jegliches Menschengeschlecht bewältigend wieder; wie früher
Es seinem König gedient, so wird es ihm willig gehorchen.
Und weit herrscht der Friede alsdann auf dem sämmtlichen Erdkreis.
Und den Assyriern wird dann ein mächtiger König erstehen;
Herrschen wird der und Alle bereden gutwillig zu tragen,
Was Gott in dem Gesetze gebot; und dann werden diesen
Fürchten die Könige all, die langhaarig, mit Spitzen gezieret,
Schrecklich und fürchterlich auch, die gewaltig, und lieblichen Blickes;
Dienen werden sie ihm nach Gottes, des mächtigen Rathschluss.
Denn durch sein Wort wird er Alles bewegen und Alles bezwingen.
Und einen Tempel des mächtigen Gottes erbaut er gewaltig,
Und einen schönen Altar; aber stürtzen wird er die Götzen.
Aber die Stämme, der Väter Geschlecht, und unmündiger Kinder
Bringt er zusammen, und wird als Einwohner sie wieder sammeln.
Aber als Namen wird er die Zahl von zwei Hunderten haben,
Auch des achten und zehnten Striches Zeichen aufweisen.
Aber wann er den zehnten erreicht der kreisenden Striche,
Und er zu zweien und fünf ist gekommen am Ende der Zeiten;
Dann werden ihnen die Könige sein wie der Sterblichen Pflanzen,
Soviel Stämme des Volks, soviel Städte und soviele Inseln,
Als die Gefilde der Seligen sind und die fruchtbaren Felder.
Einer von diesen jedoch ist ein Fürst und ein mächtiger König;
Ihm aber werden der edelen Könige viele gehorchen,
Und ihm und seinen Kindern und auch den glücklichen Enkeln
Werden sie, was sich gebührt ob der Herrschaft des Königes geben.
Zehn Dekaden hindurch, acht Jahre, und sechs noch zu diesen
Währet die Herrschaft zumal, und endlich wird man sich empören.
Aber wenn dann das mächtige Thier mit gewaltigem Krieg kommt,
Dann wird der Zorn auch empor, ihr trefflichen Könige, wachsen.
Weh, weh, Persisches Land, welche Ströme des Blutes der Männer
Wirst du haben dereinst, wann zu dir kommen wird jener
Muthige Mann; dann will ich dir dieses noch Einmal zurufen.

Ἀλλ᾽ ὅταν Ἰταλίη προφυῇ, μέγα θαῦμα βροτοῖσι,
Νηπίαχον μινύρισμα ἀκερασίῃ παρὰ πληγῇ,
Ἄντρῳ ἐπὶ σκιερῷ θηρὸς τέκνα μηλοφάγοιο,
Οἵτινες ἀνδρωθέντες ἐφ᾽ ἑπτὰ λόφοισι κραταιοῖς
Πολλοὺς πρηνίξουσιν, ἀναιδέα θυμὸν ἔχοντες,
Ἀμφότεροι ἀριθμῶν ἑκατόν, οἷς οὔνομα δείξει
Σῆμα μέγ᾽ ἐσσομένων· καὶ ἑπτὰ λόφοισι δὲ τείχη
Καρτερὰ δομήσουσι, καὶ ἀμφ᾽ αὐτοῖς βαρὺν ἄρη
Στήσουσι. Τότε δ᾽ αὖτ᾽ ἔστ᾽ ἐπανάστασις ἀνδρῶν
Φυομένη περὶ σὲ, μεγάλη καλλίσταχυ γαῖα,
Αἴγυπτε μεγάθυμε, ἀτὰρ πάλιν ταῦτα βοήσω.
Πρὸς σ᾽ ἐπὶ πληγὴν μεγάλην οἴκοις ὑποδέξῃ·
Καὶ πάλιν σοι ἰδίων ἔσται ἐπανάστασις ἀνδρῶν.
Ἄρτι δέ σε τλῆμον, Φρυγίη, κατοδύρομαι οἰκτρῶς·
Ἥξει γάρ σοι ἄλωσις ἀφ᾽ Ἑλλάδος ἱπποδάμοιο,
Καὶ πόλεμος δεινός τε διὰ κρατερὰς ὑσμίνας.
Ἴλιον, οἰκτείρω σε· ἀπὸ Σπάρτης γὰρ Ἐριννὺς
Ἥξει σοι μελάθροις ὁλοῷ κεκερασμένῳ ἄστρῳ,
Σοὺς δὲ μάλιστα πόνους, μόχθους, στοναχάς τε, γόους τε
Θήσει, ἐπὰν ἄρξωσι μάχην εὖ εἰδότες ἄνδρες,
Ἥρωες Ἑλλήνων ἀρηϊφίλων ὄχ᾽ ἄριστοι.
Τούτων δ᾽ εἷς ἔσται βασιλεὺς κλυτὸς αἰχμητής·
Ἀμφὶ κασιγνήτῳ μετελεύσεται ἔργα κάκιστα.
Αὐτοὶ δ᾽ αὖτ᾽ ὀλέσουσι Φρυγῶν κλυτὰ τείχεα Τροίης,
Ἡνίκα δὶς πέντε περιτελλομένων ἐνιαυτῶν,
Πληρώσει πολέμοιο μιαιφόνα ἔργα χρόνοιο.
Ἀφνίδιος δὲ βροτοὺς ξύλινος δόλος ἀμφικαλύψει,
Καὶ τοῦτον δέξῃ ἐπὶ γούνασιν οὐχὶ νοοῦσα,
Ἔγκυον Ἑλλήνων χόλον ἔμμεναι, ἢ βαρὺ πένθη.
Αἶ αἶ, ἐν νυκτὶ μιᾷ πόσους ὑποδέξεται ᾅδης,
Ἠδὲ λάφυρα πόσα πολυδακρύτοιο γέροντος
Ἄξει· ἀγήρατον δ᾽ ἔσται κλέος ἐσπομένοισι.
Τοὔνομα δὲ σχέσει βασιλεὺς μέγας ἐκ Διὸς ἀνὴρ
Στοιχείου ἀρχομένοιο, ἐπὶ νόστοιο στοιχήσει.
Δὴ τότε καὶ πεσεῖται δολίης ἐν χειρὶ γυναικός.
Ἄρξει δ᾽ ἐκ γενέτης τε καὶ αἵματος Ἀσσαράκοιο
Παῖς, κλυτὸς ἡρώων, κρατερὸς καὶ ἄλκιμος ἀνήρ.
Ἥξει δ᾽ ἐκ ταύτης πυρὶ μεγάλῳ δηωθείσης
Φεύγων, ἔκπατρις, φοβερὸν διὰ μῶλον ἄρηος,
Βαστάζων ὤμοισιν ἑὸν πρέσβυν γενετῆρα,
Υἱὸν δ᾽ ἐν παλάμῃ κατέχων, νόμων εὐσεβὲς ἔργον

Aber wann einst Italien wächst, ein gewaltiges Wunder
Für die Menschen, und Kindergeschrei beim kräftigen Schlage,
Wann in der schattigen Kluft die Kinder des reissenden Thiers sind,
Welche zu Jahren gereift auf sieben gewaltigen Hügeln
Richten einst Viele zu Grund, die Gewaltthat hegend im Herzen.
Jeder Einhundert an Zahl, und welchen ihr Name der Zukunft
Grosse Zeichen aufweist; und die werden mächtige Mauern
Auf sieben Hügeln aufbaun, und ringsum gewaltige Kriegsmacht
Aufstellen. Aber alsdann wird wieder von Männern ein Aufstand
Sich erheben um dich, du grosse und fruchtbare Erde,
Edles Aegyptien! Dann aber will ich dir wieder zurufen.
Bei dir zum mächtigen Schlag wirst du in die Wohnung aufnehmen,
Und dir kömmt wiederum ein Aufstand der eigenen Männer.
Jetzt aber will ich dich, armes Phrygien, bitter beweinen;
Denn die Gefangenschaft naht dir vom Rosse bezwingenden Hellas,
Und ein erschrecklicher Krieg mit mancher gewaltigen Feldschlacht.
Ilion, dich beklag ich: denn kommen wird einstens von Sparta
Dir die Erinnys ins Haus, das du haftest an bösem Gestirne:
Dir wird sie Leiden zumal, und Kummer und Stöhnen und Klagen
Bringen, wann einst eine Schlacht die kundigen Männer beginnen,
Helden vom Griechengeschlecht, die besten, die lieben den Schlachtlärm.
Und unter ihnen wird sein ein König, ein trefflicher Kriegsheld;
Um die Schwester wird er aussinnen die bösesten Thaten.
Sie aber richten zu Grund die herrlichen Mauern von Troja
In der Phrygier Land, wann in zehn umrollender Jahre
Zeit vollbringen er wird die blutigen Werke des Krieges.
Und unerwartete List im Holz wird die Männer umhüllen;
Und auf den Knieen wirst du sie aufnehmen, und wirst nicht bedenken,
Dass es der trächtige Zorn der Hellenen; und schwer wirst du klagen.
Weh, weh, in Einer Nacht, wie viel wird der Hades aufnehmen,
Und an Beute wie viel vom thränenbelasteten Greise
Führt man hinweg! Aber nicht wird der Ruhm bei den Nachkommen altern.
Aber vom ersten der Buchstaben führt den Namen der grosse
König, ein Sohn des Zeus, der wird die Heimkehr antreten.
Dann aber sinkt er dahin durch die Hand eines listigen Weibes.
Aber aus dem Geschlecht und dem Blute des Assarakiden
Wird ein ruhmreicher Held, der stark und gewaltig, regieren.
Aber aus dieser, die durch das gewaltige Feuer zerstört ist,
Wird ein Flüchtling, vaterlandslos, durch den schrecklichen Ares
Kommen, die Schultern beschwert mit dem eigenen, alten Erzeuger,
Haltend den Sohn an der Hand; und was fromme Sitte geheiligt,

Ῥήξει, παπταίνων, ὅστις πυρὸς ἔσχισεν ὁρμὴν,
Αἰθομένης Τροίης, καὶ ἐπειγόμενος δι᾽ ὁμίλου,
Δειμαίνων παῖδας εἰς γῆν φοβερήν τε θάλασσαν.
Οὔνομα δὲ σχήσει τὸ τρισύλλαβον, οὐ γὰρ ἄσημον
Στοιχείου ἀρχομένου δηλοῖ τὸν ὑπέρτατον ἄνδρα.
Καὶ τότε δ᾽ ἀναστήσειε πόλιν κρατερήν τε Λατίνων.
Πέντ᾽ ἐπὶ δεκάτῳ ἔτει ἐπὶ βένθεσιν ἅλμης,
Ὕδασιν ὀλλυμένοις σχήσει θανάτοιο τελευτήν.
Ἀλλὰ [μὲν οὐδὲ θάνατόν τ᾽] ἐπιλήσεται ἔθνεα φωτῶν·
Ἄρξει γὰρ γενεὴ τούτου μετόπισθεν ἁπάντων,
Ἄχρις ἐπ᾽ Εὐφράτου Τίγριος ποταμῶν ἀνὰ μέσσον,
Χωρὶς Ἀσσυρίων, ὅππη μηκύνετο Πάρθος.
Ἔσσεται ἐσσομένοις, ὁπόταν τάδε πάντα γένηται.
Καί τις πρέσβυς ἀνὴρ σοφὸς ἔσσεται αὖθις ἀοιδὸς,
Ὃν πάντες καλέουσι σοφώτατ᾽ ἐν μερόπεσσιν,
Οὗ κόσμος πραπίδεσσιν ὅλος παιδεύσεται ἐσθλαῖς·
Γράψει γὰρ κεφάλαια δύναμίν τ᾽ ἐπινοίαν.
Καὶ τότε σαφῶς γράψει μάλ᾽ ἀθέσφατα ἄλλοτε κάλλη,
Καὶ τοῖσιν ἐμοῖς λόγοις, μέτροις, ἐπέεσσι κρατήσας·
Αὐτὸς γὰρ πρώτιστος ἐμὰς βίβλους ἀναπλώσει,
Καὶ κρύψει μετὰ ταῦτα, καὶ ἀνδράσιν οὐκέτι δείξει
Εἰς τέλος οὐλομένου θανάτου, βιότοιο τελευτῆς.
Ἀλλ᾽ ὁπόταν δὴ ταῦτα, ἅπερ εἶπον, τελειωθῇ,
Ἕλληνες πάλιν αὖτις ἐπ᾽ ἀλλήλους μαχέονται·
Ἀσσύριοι, Ἄραβές τε, φαρετροφόροι τ᾽ ἔτι Μῆδοι,
Πέρσαι καὶ Σικελοὶ, Λυδοὶ δ᾽ ἐπαναστήσονται,
Θρῇκες, Βιθυνοί τε, καὶ οἳ παρὰ ῥεύμασι Νείλου
Ναίουσι γαίην καλλίσταχυν, ἣν δὲ κύδοιμον
Πᾶσιν ὁμοῦ θήσει Θεὸς ἄφθιτος. Ἀλλὰ μάλ᾽ αἰνῶς
Ἀνὴρ Ἀσσύριος, νόθος, Αἰθίοψ ἵκεται ἄφνω,
Θυμὸν ἔχων θηρὸς, καὶ [πάνθ᾽ ἱσμὸν] διακόψει,
Παπταίνων ἐπὶ πᾶσιν, Ἰὸν πέλαγος διαπλεύσει.
Καὶ τότε σοι μάλα πολλὰ γενήσεται, Ἑλλὰς ἄπιστε.
Αἲ αἲ σοι, τλῆμον Ἑλλὰς, ὅσα δεῖ σ᾽ ἀνοιμῶξαι,
Ἑπτ᾽ ἐπὶ ὀγδοήκοντα ἐτῶν ἐπιτελλομενάων
Παμφύλου φοβεροῦ πολέμου σκύβαλον λυγρὸν ἔσσῃ.
Ἔνθα Μακηδονίων πάλιν ἔσσεται Ἑλλάδι πῆμα,
Καὶ Θρῄκην ὀλέσει πᾶσαν, καὶ μῶλον ἄρηος
Νήσοις, ἠπείροις τε, φιλοπολέμοις τε [τοράτροις],
Ἔσσετ᾽ ἐνὶ προμάχοισι, τὸ δ᾽ οὔνομα τοῦτο μεθέξει
Δεκάκις πεντήκοντα ἀριθμῶν στοιχεῖ᾽, ἐν ᾧ δηλοῖ.

Reisst er entzwei, und siehet sich um, wer immer des Feuers
Andrang vom brennenden Troja ertrug; durch die Schaaren in Eile
Treibend voll Furcht die Kinder zum Land und zum schrecklichen Meere.
Und er wird haben dreisylbig den Namen; denn nicht unberühmet
Machet ihn kund, den gewaltigen Mann, des Buchstabens Anfang.
Und dann wird er erbaun die mächtige Stadt der Lateiner.
Aber im fünfzehnten Jahre wird er in den Tiefen des Meeres
Durch die verderbliche Fluth das tödtliche Ende erhalten.
Aber es werden ihn nicht, wann er todt ist, die Völker vergessen;
Denn es wird sein Geschlecht in der Folgezeit Alle beherrschen,
Bis zum Euphrat hin und zum Tigris, zur Mitte der Ströme;
Nur die Assyrier nicht, wo weit der Parther sich ausdehnt.
Dies wird zukünftig geschehn, wann dies sich Alles erfüllet.
Später wird sein auch ein ältlicher Mann und erfahrener Sänger,
Welcher bei Allen der weiseste heisst bei den lebenden Menschen,
Durch dessen trefflichen Geist sich die sämmtliche Welt unterrichtet;
Denn er wird schreiben mit Kraft und Einsicht seine Gesänge.
Und er wird Einiges dann unaussprechlich prächtig beschreiben,
Meine Gesänge und Maass der Verse und Worte gebrauchend.
Denn vor Allem zuerst wird er meine Bücher aufrollen,
Und sie verbergen nachher, und nicht mehr den Menschen sie zeigen,
Bis zum endenden Tod, dem Vernichter, zum Ende des Lebens.
Aber wenn dann das, was ich gesagt, in Erfüllung gegangen;
Dann werden auch wiederum die Hellenen einander bekämpfen;
Und die Assyrer, die Araber und Köcherführenden Meder;
Auch die Perser, Sizilier, Lyder werden aufstehen,
Thrazier auch, die Bithynier und die am Strome des Niles
Wohnen, im fruchtbaren Land, wohin mit Allen den Schlachtlärm
Bringen wird er, der ewige Gott. Doch gewaltig und plötzlich
Kömmt ein Assyrischer Mann, unechter Geburt, Aethioper;
Und mit dem Geist eines Thiers wird er alles Bestehnde zerbrechen,
Schauend nach Allen sich um, und befahren die Jonische Meerfluth.
Und dann wird dir sehr viel, o treuloses Hellas, begegnen.
Wehe dir, weh, o elendes Hellas, wie viel musst du seufzen!
Achtzig Jahre und sieben dazu von umkreisenden Jahren
Wirst du des schrecklichen Kriegs aller Stämme ein trauriger Auswurf.
Dann wird wieder das Leid Mazedoniens Hellas berühren;
Thrazien ganz wirds richten zu Grund, und mit Arbeit des Krieges
Inseln und Festland und den kriegliebenden . . . . .
Wird bei den Ersten er sein im Kampf, und der Name wird fassen
Zehnmal fünfziger Zahl Buchstab, worin er sich kund thut.

Ἀρχὴν ὠκύμορός [τε] γενήσεται· ἀλλὰ μεγίστην
Καλλείψει βασιλείαν, ἀπειρεσίην τε καὶ αἶαν.
Αὐτὸς δ' αὖ πέσεται ὑπὸ δουροφόρου κακοβούλου,
Ζήσας ἐν Συρίᾳ, ἡγούμενος οἷά περ οὐδείς.
Ἄρξει δ' αὖ μετέπειτα παῖς τούτου μεγαθύμου,
Στοιχείου ἀρχομένου· γένος διέξοδον ἔσται.
Οὐ Διὸς οὐκ Ἄμμωνος ἀληθείᾳ τοῦτον ἐροῦσιν
Πάντες, ὅμως Κρονίδαο νόθον δ' ὡς ἀνταπλάσονται.
Πολλῶν δ' αὖ μερόπων ἀνδρῶν πόλεις ἐξαλαπάξει.
Εὐρώπῃ δὲ μέγιστον ἀνασταχυώσεται ἔλκος.
Οὗτος καὶ Βαβυλῶνα πόλιν λωβήσεται λοιμῷ,
Καὶ πᾶσαν ὁπόσην ἐπιδέρκεται ἠέλιος γῆν,
Ἀντολίην κόσμον τε καταπλεύσει μόνον αὐτός.
Αἲ αἲ σοι, Βαβυλών, θριαμβίεσσι λατρεύσεις,
Δεσπότις αὐδηθεῖσα, καὶ Ἄσσιδος ἔρχεται ἄρης,
Ἔρχεται ἀτρεκέως καὶ σφάξει σου τέκνα πολλά.
Καὶ τότε δ' ἐκπέμψεις τὸν σὸν βασιλῆϊον ἄνδρα
Τετράδος ἐξ ἀριθμοῦ συνώνυμον, ἐγχεσίμωρον,
Δεινὸν τοξοβόλον τε, μετὰ κρατερῶν πολεμιστῶν.
Καὶ τότε δ' ἡ Κιλίκων καὶ Ἀσσυρίων μέσον ἕξει
Λιμὸς καὶ πόλεμος· ἀτὰρ βασιλεῖς μεγάθυμοι
Θυμοβόρου ἔριδος δεινὴν στάσιν ἀμφιβαλοῦσιν.
Ἀλλὰ σὺ μὲν φύγε πέραν, τὸν βασιλῆα λεῖπε δ' αὐτὸν,
Μηδὲ θέλῃς μενέειν, μηδὲ δούλειος ὑπάρχειν·
Δεινὸς γάρ σε λέων ἐπιίξεται, ὠμοβόρος θῆρ,
Ἄγριος, ἀντὶ δίκης λώβης ἀμφείμενος ὤμοις.
Φεῦγε κεραύνιον ἄνδρα. Κακὸν δ' Ἀσίῃ ζυγὸν ἥξει,
Καὶ πᾶσι πᾶσα χθὼν πίεται φόνον ὀμβρήεντα.
Ἀλλ' ὁπόταν Αἴγυπτος μεγάλην πόλιν ὀλβοδότειραν
Στηρίξει, Πελλαῖος ἄρης αὐτῷ δ' ὀνομήσῃ
Μοῖραν καὶ θάνατον, προδοθεὶς δολίων ὑφ' ἑταίρων·
Ἰνδοὺς γὰρ προλιπόντα καὶ εἰς Βαβυλῶνα μολῶντα
Βάρβαρον ἐξολέσει τοῦτον φόνον ἀμφὶ τραπέζης.
Ἄρξουσι μετέπειτ' ἄλλοι κατὰ φῦλον ἕκαστον,
Δημοβόροι βασιλεῖς καὶ ὑπερφίαλοι καὶ ἄπιστοι,
Ἐν ὀλίγοις ἔτεσιν. Αὐτὰρ μεγάθυμος ἀγήνωρ,
Ὃς πᾶσαν Εὐρώπην ἐπικαλαμήσεται γυμνὴν,
Ἐξότε πᾶσα χθὼν πίεται παμφύλιον αἷμα,
Λείψει ἀτὰρ, βιότου μορφὴν ἰδίαν ἀναλώσας.
Ἔσονται δ' ἄλλοι βασιλεῖς διστέσσαρες ἄνδρες
Ἐκ γενεῆς τούτου, οἷς οὔνομα πᾶσι τὸ αὐτό.

Aber nur kurz wird ihm sein die Herrschaft, doch wird er das grösste
Königreich lassen zurück und ganz unermessliche Länder.
Und er wird sinken dahin nachher durch den schändlichen Waffner,
Wann er gelebt und geherrscht in Syrien, wie noch kein Andrer.
Und es wird herrschen darauf ein Sohn dieses edelen Mannes,
Der mit dem ersten Buchstaben beginnt, der letzte des Stammes.
Nicht einen Sohn des Zeus, nicht des Ammon werden in Wahrheit
Alle ihn nennen, zugleich zum Bastard des Kroniden ihn machen.
Der aber wird nachher viele Städte der Menschen ausrauben.
Aber Europa zumeist wird grosses Unheil aufspriessen.
Dieser wird Babylon auch die Stadt mit Hunger bezwingen,
Und ein jegliches Land, auf welches die Sonne herabsieht;
Und an des Orients Welt allein er landet die Schiffe.
Wehe dir, Babylon, weh! denn dienen wirst du in Triumphen,
Du, welche Herrinn genannt wardst. Auch Asiens Ares wird kommen;
Sicherlich kömmt er heran, und wird viele Kinder dir morden.
Und einen Mann wirst du dann, deinen König wirst du entsenden;
Nach der Vierzahl wird er genannt, ein Kämpfer der Lanze,
Und ein furchtbarer Schütze, gefolgt von gewaltigen Kriegern.
Und es wird dann die Cilicier und die Assyrer befallen
Pest und Krieg. Indess werden heldenmüthige Herrscher
Rüsten gewaltige Schaar zum Herz verderbenden Streite.
Du aber fliehe hinweg und verlasse ihn selber, den König,
Und nicht zu bleiben gedenk', und nicht als Sklave zu dienen:
Denn dich packt der schreckliche Leu, das zermalmende, wilde
Ungethüm gegen das Recht, und hüllet dir Schmach um die Schultern.
Fliehe den Mann des Donners. Auf Asien wird einst ein böses
Joch kommen, und die Erd' überall schlürft triefenden Mord ein.
Aber wenn dann der Aegypter die grosse und glückliche Stadt baut,
Dann wird der Ares von Pella ihm aussprechen das Schicksal,
Und auch den Tod, nachdem er von trügrischen Freunden verrathen.
Denn wann die Indier er verlässt und nach Babylon hinzieht,
Wird er vernichten durch Mord den Fremden, ihn bei dem Gelage.
Andere werden darauf die einzelnen Stämme beherrschen,
Prassende Könige und voll Gewaltthat und auch sonder Treue,
Wenige Jahre hindurch. Doch ein Mann, der muthig und edel,
Welcher abhalten noch wird Nachlese im nackten Europa,
Dann wann die sämmtliche Erde das Blut aller Stämme einschlürfet,
Wird auch bleiben, nachdem er sein Dasein des Lebens verwendet.
Und acht andere Männer die werden als Könige da sein,
Aus demselben Geschlecht und alle von gleicher Benennung.

Ἔσται δ' Αἴγυπτος νύμφη τότε κοιρανέουσα,
Καὶ πόλις ἡ μεγάλη τε Μακεδονίοιο ἄνακτος
Πότνι' Ἀλεξάνδρεια, κλυτὴ θρέπτειρα πόλεων,
Κάλλει τε στίλβουσα, μόνη μητρόπολις ἔσται.
Καὶ τότε μεμφέσθω Μέμφις τοῖς κοιρανέουσιν.
Εἰρήνη δ' ἔσται βαθεῖα κατὰ κόσμον ἅπαντα·
Γῆ δὲ μελάμβολος καρποὺς τότε πλείονας ἕξει.
Καὶ τότε Ἰουδαίοις κακὸν ἔσσεται, οὐδὲ φυγοῦνται
Λιμὸν καὶ λοιμὸν δυσανασχέτῳ ἤματι κείνῳ.
Ἀλλὰ μελάμβολος, καλλίσταχυς ἡ νεόκοσμος
Ἁλωμένους πολλοὺς ὑποδέξεται ἀμβροσίη χθών.
Ἀλλ' ὀκτὼ βασιλεῖς ὑλώδεος Αἰγύπτοιο
Πληρώσουσιν ἀριθμοὺς τρεῖς καὶ τριάκοντα
Πρός τε διακοσίους. Αὐτὰρ γένος ἐξαπολεῖται
Αὐτῶν οὐ πάντων, ῥίζη δέ γ' ἐξαναφύσει
Θηλυτέρη, βροτολοιγὸς, ἓῆς προδότις βασιλείης.
Ἀλλ' αὐτοὶ κακότητα καὶ αὐτῶν ἔργα πονηρὰ
Ῥέξουσι μετέπειτα, καὶ ἄλλος ἄλλον ὀλέσσει·
Κόψει πορφύρεος γενέτης γενέτηρα μαχητὴν,
Καὐτὸς ὑφ' υἱῆος· πρὶν δὴ φυτὸν ἄλλο φυτεύσει,
Ἐκλείψει· ῥίζα δ' ἀναθηλήσει μετέπειτα
Αὐτοφυὴς, τοῦ δὴ παραφυόμενον γένος ἐστίν.
Ἔσται γὰρ χώρης βασιλὶς παρὰ χεύμασι Νείλου,
Ἑπταπόροις στομάτεσσιν ἐπερχομένοιο θαλάσσης,
Εἰκοστοῦ δ' ἀριθμοῦ πολυήρατον οὔνομα ταύτῃ·
Μυρία δ' αἰτήσει καὶ χρήματα πάντα συνάξει
Χρυσοῦ τ' ἀργυρίου τε· δόλος δὴ ἔσσεται αὐτῇ
Ἐξ ἰδίων ἀνδρῶν. Τότε σοι πάλιν, γαῖα μακρὰ,
Ἔσονται πόλεμοί τε, μάχαι τ', ἀνδροκτασίαι τε.
Ἀλλ' ὅταν ἄρξωνται πολλοὶ Ῥώμης ἐριθήλου,
Οὔτι γε μὴν μακάρων προδεδειγμένοι, ἀλλὰ τύραννοι,
Χιλιάδων δ' ἀρχοὶ καὶ μυριάδων γεγαῶτες,
Καὶ νομίμων ἀγορῶν οἱ ἐπίσκοποι, ἠδὲ μέγιστοι
Καίσαρες ἄρξουσι [δ' ἰζόμενοι] ἤματα πάντα·
Τούτων δ' ὑστάτιος ἄρξει δεκάτου ἀριθμοῖο,
Ὑστάτιος καίσαρος ἐπιχθόνια γυῖα κτείνων,
Ἄρῃ δεινῷ βεβλημένος ἀνδρὸς ὑπ' ἐχθροῦ,
Ὃν Ῥώμης παῖδές τε μιῆς παλάμῃσι φέροντες,
Εὐσεβέως θάψουσι, περὶ δ' αὐτῷ σῆμα χέουσιν,
Ἧς φιλίης ἕκατι, μνήμῃ χάριν [κατέχοντες].
Ἀλλ' ὁπόταν λυκάβαντος ἐπέλθῃ τέρμα χρόνοιο,

Aber Aegypten wird dann eine viel gebietende Braut sein;
Und die mächtige Stadt, die des Mazedonischen Herrschers.
Alexandria die hehre, die ruhmreiche Mutter der Städte,
Welche in Schönheit erglänzt, wird allein die Mutterstadt heissen.
Und dann mag Memphis den Herrschern dies machen zum Vorwurf.
Und in der sämmtlichen Welt wird weithin herrschen der Friede,
Und das schwarzschollige Land wird Früchte in Fülle dann haben.
Und die Juden wird dann das Unglück heimsuchen; nicht werden
Sie dem Hunger entgehn und der Pest in den Tagen des Unglücks.
Doch der Gefangenen viel wird aufs Neue geschmücket empfangen
Das schwarzschollige, fruchtbare Land, die ambrosische Erde.
Aber der Könige acht des schlammigen Landes Aegypten
Werden ausfüllen die Zahl von drei und dreissig und hundert
Zweimal gezählet; jedoch wird zu Grunde gehen nicht gänzlich
Ihrer aller Geschlecht: Eine Wurzel wird wieder ausschlagen,
Weiblicher Spross, und grausam, des eigenen Reiches Verräther.
Aber die Schlechtigkeit und ihre eigenen boshaften Werke
Führen sie aus, und dann wird Einer den Andern vernichten:
Und es erschlägt der farbige Sohn den streitbaren Vater,
Und vom eigenen Sohn fällt der, und bevor einer pflanzet
Andere Pflanzung, verdorrt sie. Die Wurzel jedoch grünet wieder
Auf von selber nachher, und wird dessen Neben-Geschlecht sein.
Denn sie wird Königinn sein im Land an den Strömen des Niles,
Der sich ergiesset ins Meer mit sieben ausmündenden Armen.
Zur Zahl zwanzig gehört ihr Name, den sehr Viele lieben.
Und sie begehrt Unzähliges auch, und sammelt die Schätze
Alle an Gold und Silber. Doch von ihren eigenen Männern
Kömmt die Hinterlist ihr; dann wird auf dir wieder, o weite
Erde, entbrennen der Krieg, und Schlachten, und Morden der Männer.
Aber wann Viele alsdann über Rom, das blühende herrschen,
Zwar keineswegs Verkünder des Glückes sie, sondern Tyrannen,
Die über Tausende und Myriaden die Herrschaft erlangten:
Dann werden sie die Herrn der Versammlungen, welche im Brauch sind,
Und als Cäsaren mit Macht versehn, alle Tage gebieten.
Und der letzte davon, mit der Zehnzahl wird er beginnen,
Welcher als letzter des Cäsars irdisches Leben genommen,
Der wird von feindlicher Hand hingestreckt im schrecklichen Kriege.
Und die Kinder von Rom allein werden tragen mit Händen
Ihn, und fromm ihn beerdigen, und ihm ein Denkmal aufschütten,
Um seiner Freundschaft willen, die Gunst im Gedächtniss bewahrend.
Aber wenn dann ist gekommen die Zeit und das Ende des Jahres,

Λὶς δὲ διηκοσίων καὶ δὶς δέκα πληρώσασα,
Ἐξότε σου κτίστης, Θηρὸς παῖς, ἡγεμόνευσεν,
Οὐκέτι δικτάτωρ ἔσται μεμετρημένος ἄρχων·
Ἀλλ' ἄναξ βασιλεύς τε γενήσεται ἀντίθεος φῶς.
Εἰς δὲ τότ' Αἰγύπτῳ ἐπερχόμενον βασιλῆα,
Ἥξει [δ]' ἀτρεκέως φοβερὸς κορυθαίολος Ἄρης.
Καὶ τότε σοι χειρὶ ἔσσεται μετόπισθεν ἄλωσις·
Δεινοὶ γὰρ, μαλεροί τε βίη, περὶ τείχεα γαίης
Ἔσονται πόλεμοι κακοεργέες. Ἐν πολέμοις δὲ
Αὖτη λυγρὰ παθοῦσα, νεοτρώτων καθύπερθεν,
Φεύξει δειλαίη· μετέπειτα δὲ εἰς λέχος ἥξει,
Αὐτῷ τε φοβερῷ ὁ γάμος τέλος ἐστὶ σύνευνος.
Αἲ αἲ σὺ, δυσνύμφη κόρη, βασιλήϊον ἀρχὴν
Λώσεις Ῥωμαίῳ βασιλεῖ, καὶ πάντ' ἀποτίσεις,
Ὅσσα πάρος πολέμοισιν ἀνδρείῃσιν ἔπραξας,
Ὡς εἰς ἓν [προκίων] ὅλην γῆν ἀνδρὶ κραταιῷ,
Ἄχρις ἔσω Λιβύης καὶ ἀνδρῶν κυανοχρώτων.
Ἔσῃ δ' οὐκέτι χήρα, συνοικήσεις δὲ λέοντι
Ἀνδροβόρῳ φοβερῷ τε ἐνυαλίῳ πολεμιστῇ.
Καὶ τότε δειλαία ἐν ἀνθρώποισιν ἄφαντος
Πᾶσιν· [λείψει γὰρ ἀναιδέα θυμὸν ἔχουσα,
Καὶ λάβεται σεμνὴν, ὁπότε περίδρομος οἴχεται τύμβος]
Ζῶσα ἔσω [υ . . . σπλην] ἐφάρμοστος κορυφαῖος
Λαιδάλεος, πουλὺς δέ σε κλαύσεται λαὸς,
Καὶ βασιλεὺς ἐπὶ σοὶ δεινὸν στοναχήσεται οἰκτρόν.
Καὶ τότε δ' Αἰγυπτολάτρις ἔσσεται ἡ πολύμοχθος,
Ἡ πολλοῖς ἔτεσι τροπαιοφορέουσα κατ' Ἰνδῶν,
Δουλεύσει δ' αἰσχρῶς, ποταμῷ δ' ἐπὶ δάκρυα μίξει,
Καρποφόρῳ Νείλῳ, ὅτι δὴ κεκτημένη ὄλβον,
Καὶ πᾶν μὲν μεγέθους ἀγαθῶν θρεπτῆρα πόλεων
Θρέψει μηλοφάγων γενεὴν φοβερῶν ἀνθρώπων.
Αἲ ὁπόσοις θήρεσι λάτρις καὶ κύρμα γενήσῃ,
Αἴγυπτε πολύολβε, θεμιστεύουσ' ἠδὲ λαοῖς,
Ἡ πρὶν βασιλεῦσιν ἀγαλλομένη μεγάλοισιν·
Λαοῖς δουλεύσεις τλήμων διὰ λαὸν ἐκεῖνον,
Ὃν πάρος εὐσεβέοντα μετήγαγες εἰς πολὺ πῆμα,
Μόχθων καὶ κοπετῶν, ἐπὶ δ' αὐχένα θῆκας ἄροτρον
Αὐτοῦ, καὶ δάκρυσι βροτέοις ἤδρευσας ἀρούρας.
Τούνεκεν αὐτὸς ἄναξ, Θεὸς ἄφθιτος, αἰθέρι ναίων,
Ἐξαλαπάξει ὅλην, καὶ εἰς κοπετὸν προϊάψει,
Καὶ τίσεις ἀνθ' ὧν σὺ πάρος ποίησας ἀθέσμως,

Wann du zweimal zweihundert und zwanzig der Zeiten erfüllt hast,
Seit die Herrschaft geführt dein Ahnherr, vom Thiere erzogen:
Dann wird auch nicht Diktator mehr sein, dem die Herrschaft gekürzt ist;
Sondern der Herrscher wird dann ein König, ein gottgleicher Mann sein.
Und zu dem Könige wird alsdann, wann er zieht nach Aegypten,
Kommen ganz sicher heran der schrecklich gerüstete Ares.
Und dann wird deinem Heere nachher die Gefangenschaft werden:
Denn es wüthen alsdann gar schreckliche, furchtbare Kriege,
Voll von Gewalt und von übeler That, um die Städte des Landes.
Aber im Kriege erfährt sie Unglück, und über die Leichen
Wird die Unglückliche fliehn; doch nachher gelangt sie zum Beilager,
Und dem schrecklichen Mann ist die gattende Ehe das Ende.
Wehe dir, weh, du unglückliche Braut! die Herrschaft des Königs
Wirst du verleihn dem König von Rom, und Alles abbüssen,
Was du ehedem hattest verübt durch Kriege der Männer,
Wie du verschafft das sämmtliche Land dem gewaltigen Manne
Bis nach Libyen hin und zu den farbigen Männern.
Auch nicht mehr wirst Wittwe du sein, du wirst theilen des Löwen
Lager, des furchtbaren Männer-Erwürgers, des streitbaren Kriegers.
Und dann wirst, unglückliche, du bei den Menschen verschwinden
Alle zumal; [denn sterben wird sie, die frechen Gemüths war,
Und die Stolze empfängt, wo rund der Grashügel sich hinzieht,]
Lebendigen Leibs . . . . . [der passende Führer
Künstlich gefügt] und dich wird vieles Volk dann beweinen,
Und aufstöhnen in schrecklichem Leid um dich wird der König.
Und dann wird die Aegyptische Dienerinn haben viel Drangsal,
Die viele Jahre hindurch voll Siegs war gegen die Inder,
Die wird dienen mit Schmach und den Fluss mit Thränen vermischen,
Ihn den fruchtbaren Nil; weil sie sich Reichthum erworben,
Und alle Grösse zumal. Die Ernährerinn trefflicher Städte
Nährt das Geschlecht der Schafe verzehrenden, schrecklichen Menschen.
Weh, wie vielem Gethier wirst Diener und Beute du werden,
Vielbeglücktes Aegypten, das ehdem die Völker beherrschte,
Das Triumphe gefeiert vordem über mächtige Herrscher;
Völkern wirst du zu Dienst, o unglückliche, sein wegen jenes
Frommen Volks, das du ehdem gebracht in vielerlei Leiden,
Viel an Mühsal und Noth, dem du den Pflug auf den Nacken
Legtest und feuchtetest an mit Thränen der Menschen das Saatland.
Deshalb wird dich der Herr, der unsterbliche Gott, der im Himmel
Wohnet, berauben durchaus, und dich in Wehklagen versenken,
Und du wirst büssen dafür, was du früher Unrechtes verübt hast,

Ὕστατα δὲ γνώσῃ, ὅτι σοὶ Θεοῦ ἦλυθεν ὀργή.
Αὐτὰρ ἐγὼ Πυθῶνα καὶ εὔπυργον Πανοπῆα
Βήσομαι· ἔνθα με πάντες ἀληθέα φημίξουσι,
Μάντιν χρησμῳ[δὸν], αὐτὰρ μεμανηότι θυμῷ,
Ἄγγελον . . . . . ἐπὴν βίβλοις δὲ προσέλθῃ.
Μὴ τρέσσῃ, καὶ πάντα τά τ᾽ ἐσσόμενα πρό τ᾽ ἐόντα
Γνώσετ᾽ ἀφ᾽ ἡμετέρων ἐπέων· τότε τὴν θεόληπτον
Οὐκέτι τις μάντιν καλέσει χρησμῳδὸν ἀνάγκης.
Ἀλλ᾽ ἄναξ, νῦν παῦσον ἐμὴν πολυήρατον ἀοιδὴν,
Οἶστρον ἀπωσάμενος, καὶ ἐτήτυμον ἔνθεον ὀμφὴν,
Καὶ μανίην φοβερὰν, δὸς δ᾽ ἱμερόεσσαν ἀοιδήν.

Und wirst erkennen zuletzt, dass der göttliche Zorn dich erreicht hat.
Ich aber werde nach Python und dem wohlbethürmten Panopeus
Gehen, dort werden mich alle die wahre Wahrsagerinn nennen,
Welche Weissagungen spricht, jedoch wahnsinnig im Geist ist,
Die gesendet . . . . . wenn man zu den Büchern gelangt ist.
Nicht verzage; und Alles was sein wird und früher gewesen,
Wird man aus unserem Wort erfahren; dann wird man sie nicht mehr,
Sie, die begeistert von Gott, eine Unglücks-Prophetinn benennen.
Aber, o Herr! lass auf den Gesang nun den lieblichen hören;
Treibe die Raserei weg, und die wahre, begeisterte Rede,
Auch die erschreckliche Wuth, und verleihe liebreizenden Sang mir.

ΤΩΝ ΣΙΒΥΛΛΙΑΚΩΝ

ΧΡΗΣΜΩΝ

ΛΟΓΟΣ ΔΕΚΑΤΟΣ (ΔΩΔΕΚΑΤΟΣ).

Ἀλλ᾽ ἄγε μοι στενόεντα χρόνον Κλυαλατινιδάων·
Ἤ ὅτι μὲν πρώτιστα, μετ᾽ ὀλλυμένους βασιλῆας
Αἰγύπτου τοὺς πάντας, ἢ κατὰ γαῖαν φερέσκον,
Καὶ μετὰ τὸν Πέλλης πολιήτορα, ᾧ ὑπὸ πᾶσα
Ἀντολίη βεβόλητο καὶ ἑσπερίη πολύολβος,
Ὃν Βαβυλὼν ἤλεγξεν, νέκυν δ᾽ ὤρεξε Φιλίππῳ,
Οὐ Διὸς, οὐκ Ἄμμωνος ἀληθέα φημιχθέντα·
Καὶ μετὰ τὸν γενεῆς τε καὶ αἵματος Ἀσσαράκοιο,
Ὃς μόλεν ἐκ Τροίης, ὅστις πυρὸς ἔσχισεν ὁρμήν.
Πολλοὺς δ᾽ αὖ μετ᾽ ἄνακτας, ἀρηΐφιλους μετὰ φῶτας,
Καὶ μετὰ νηπιάχους θηρὸς τέκνα μηλοφάγοιο,
Καὶ μετὰ τὰς ἑτάρων ἑκατοντάδας ἓξ διαβῆναι,
Καὶ δύο τὰς δεκάδας Ῥώμης δικτάτωρος οὔσης,
Ἔσσετ᾽ ἄναξ πρώτιστος, ἀφ᾽ ἑσπερίοιο θαλάσσης,
Ῥώμην κοιρανέων, μεγάλ᾽ ἄλκιμος, ἠδὲ μαχητὴς,
Ἀρχὴν στοιχείων ὅστις λάχε, καί σε πεδήσας
Ἄρεος ἀνδροφόνοιο παγήσεται· ἀγλαόκαρπε,
Λώβην ἐκτίσεις, ἥνπερ προέηκας ἑκοῦσα·
Αὐτὸς γὰρ μεγάθυμος ἀριστεύσει πολέμοισι,
Ἡ Θρῄκη πτήξει, καὶ Σικελίη [μετὰ], Μέμφις,
Μέμφις πρηνιχθεῖσα δι᾽ ἡγεμόνων κακότητος,
Ἥδὲ γυναικὸς ἀδουλεύτου ὑπὸ δουρὶ πεσούσης·
Καὶ [δεσμοὺς] θήσει λαοῖς, καὶ πάνθ᾽ ὑποτάξει,
Κῦδος ἔχων κρατερὸν, σκήπτρων ἐπὶ πολὺ κρατήσει·
Οὐ γὰρ ὑπερθήσει ὀλίγον χρόνον οὐδ᾽, ὁπότ᾽ [ἄλλοις]
Σκηπτροῦχος βασιλεὺς τούτου πλέον οὐ μῖαν ὥραν,

SIBYLLINISCHE WEISSAGUNGEN.

ZEHNTES (ZWÖLFTES) BUCH.

Nun aber bring mir die traurige Zeit der berühmten Lateiner;
Sei es, dass diese zuerst nach dem Tode der Herrscher Aegyptens
Lebten, alle zumal, oder unter die Erde gelangten;
Und nach Pellas Mitbürger auch, unter dem der gesammte
Orient ward unterjocht und das glückliche Land gegen Abend;
Den Babylon abgewehrt und als Leiche gewährt dem Philippus,
Dem nicht von Ammon noch Zeus die Wahrheit wurde verkündigt.
Und nach dem vom Geschlecht und Blute des Assarakiden,
Der aus Troja herkam und den Andrang des Feuers bestanden.
Aber nach vielen Gebietern und vielen kriegslustigen Männern,
Und den unmündigen Kindern des Schafe verzehrenden Thieres;
Wann sechs Hekatontaden den Freunden vorübergezogen,
Und wann zwei Dekaden durch Rom Diktator gewesen:
Dann wird zuerst ein Herrscher erstehn vom Meer gegen Abend,
Welcher Rom wird beherrschen, ein starker und streitbarer Kämpe,
Welcher den ersten der Buchstaben führt, und der dich gefesselt
Festhält durch den würgenden Mars. Du reiche an Früchten,
Du wirst büssen die Schmach, die du früher mit Willen geübt hast:
Denn der Hochherzige selbst, der wird im Krieg sich hervorthun.
Thrazien wird kommen in Furcht, Sizilien nachher und auch Memphis,
Memphis, welches hinsinkt durch die Bosheit seiner Beherrscher,
Und durch ein hausgeborenes Weib, das unter dem Speer sinkt.
Und in Bande legt er die Völker und Alles bezwingt er.
Erndtend gewaltigen Ruhm wird er lange die Herrschaft behaupten;
Denn auch nicht wenige Zeit herrscht er länger, wann einstens ein andrer
König gebeut, nicht länger als der, auch nicht eine Stunde,

Ῥωμαίων, ὅτι πάντα Θεὸς [κατένευσ᾽] ἐπὶ τούτῳ,
Καὶ δὴ καὶ καιροὺς ἐπεδείξατο ἐν χθονὶ δίῃ,
Θεσπεσίους μεγάλους ἐπὶ δ᾽ αὐτοῖς σήματ᾽ ἔδειξεν.
Ἀλλ᾽ ὁπόταν ἀστὴρ πανείκελος ἠελίοιο
Λαμπρὸς ἀπ᾽ οὐρανόθεν προφανῇ ἐνὶ ἤμασι μέσσοις,
Καὶ τότε δὴ κρύφιος ἥξει Λόγος ὑψίστοιο,
[Σαρκοφέρων] θνητοῖσιν ὁμοίϊον· ἀλλὰ σὺν αὐτῷ
Αὐξήσει τὸ κράτος Ῥώμης, κλεινῶν τε Λατίνων.
Αὐτὸς δ᾽ αὖθ᾽ ὁ μέγας βασιλεὺς ἰδίης ὑπὸ μοίρης
Κατθάνεται, παραδοὺς ἑτέρῳ βασιλήϊον ἀρχήν.
Καί τις δ᾽ αὖ μετὰ τοῦτον ἀνὴρ, κρατερός τ᾽ αἰχμητὴς
Ἄξει, πορφυρέην δὲ λαβὼν ἀμφείμενος ὤμοις,
Ὅστε τριηκοσίων ἀριθμῶν κεραὴν ἐπὶ πρώτην,
Ἑξολέσει Μήδους καὶ ἰοβόλους ἅμα Πάρθους·
Αὐτὸς δ᾽ ὑψίπυλον καθελεῖ πόλιν ἐν κράτεϊ ᾧ,
Καὶ πόλει [Αἰγύπτῳ] κακὸν ἔσσεται, Ἀσσυρίοις τε,
Κόλχοις, Ἡνιόχοις, καὶ τοῖς παρὰ χεύμασι Νείλου,
[Γερμανοὺς ἄγουσιν ὑπὲρ ψαμμαθώδεας ἀκτάς].
Αὐτὸς πορθήσει καὶ ὑψίπυλον μετόπισθεν,
Ἐγγύθεν Ἡριδάνοιο πόλιν κακὰ μετιόωσαν.
Καὶ τότε δὲ πέσεται πληγεὶς αἴθωνι σιδήρῳ.
Ἄρξει δ᾽ αὖ μετέπειτ᾽ ἄλλος δολιόπλοκος ἀνὴρ,
Τῶν τρισσῶν ἀριθμῶν ὅστις λάχεν, οὔνομα δ᾽ αὐτοῦ
Δηλώσει κεράη· χρυσὸν δὲ πολὺν συναθροίσει,
Κοὐκ ἔσται πλούτου πουλὺς κόρος, ἀλλά τ᾽ ἀναιδῶς
Πλείονα συλλήσας, θήσει κατὰ γαῖαν ἅπαντα.
Εἰρήνη δ᾽ ἔσται, πολέμων δ᾽ ἀναπαύσεται ἄρης·
Πολλὰ δὲ δηλώσει ἐπὶ μαντοσύνῃσι, μεγίστων
Πευθόμενος βιότου ζωῆς χάριν· αὐτὰρ ἐπ᾽ αὐτῷ
Ἔσται σῆμα μέγιστον, ἀπ᾽ οὐρανοῦ αἱματόεσσαι
Ῥεύσουσι ψεκάδες [καὶ ἀπολλυμένα βασιλῆος].
Πολλὰ δὲ ποιήσει ἄνομα, περὶ δ᾽ αὐχένα θήσει
Ἄλγεα Ῥωμαίοις, ἐν μαντοσύναισι πεποιθώς·
Συγκλήτου δ᾽ ὀλέσει κεφαλάς. Λοιμὸς δὲ καθέξει
Καππανοὺς, Θρᾴκας τε, Μακεδόνας, Ἰταλίητας.
Μούνη δ᾽ Αἴγυπτος θρέψει πολυπληθέα φῦλα·
Παρθενικὴν δὲ κάρην μυστηρίων ἐξαπατήσας,
Αὐτὸς ἄναξ ὀλέσει δολίως· τὴν δ᾽ αὖ πολιῆται
Ἀχνύμενοι θάψουσι· χόλον δὲ πανάκτορι πάντες
Κατθέμενοι, δολίως τοῦτον διαλωβήσονται.
Ἀνθούσῃ κρατερῇ Ῥώμῃ [κρατεροῖς ὀλιεῖται].

Ueber die Römer; denn Alles hat Gott für diesen bewilligt;
Auch angezeigt die gelegene Zeit auf der göttlichen Erde,
Grosse und göttliche Zeit hat er ihnen als Zeichen gewiesen.
Aber wenn dann ein Gestirn, der leuchtenden Sonne ganz ähnlich,
Glänzend am Himmel erscheint, sichtbar in der Mitte der Tage;
Dann wird auch das verborgene Wort des Höchsten erscheinen,
Mit einem sterblichen Leib, den Sterblichen ähnlich. Mit diesem
Wird Roms Macht sich noch mehreu und die der berühmten Lateiner.
Dann aber wird der mächtige König aus eigenem Entschluss
Leiden den Tod, die Herrscher-Gewalt einem Anderen gebend.
Und nach ihm wiederum wird ein Mann, ein gewaltiger Krieger
Wachsen heran und das Purpurgewand um die Schultern sich legen,
Welcher die Zahl von dreissigen zählt im ersten Buchstaben:
Der wird die Meder vertilgen, zugleich auch die Parthischen Schützen;
Auch die hochthorige Stadt zerstört er in seiner Stärke.
Auch der Aegyptischen Stadt wirds übel ergehn, den Assyrern,
Kolchern und Heniochen, und die an dem Wasser des Nilstroms.
[Die Germanen treibet man über die sandigen Küsten].
Auch wird er die hochthorige Stadt in der Folge zerstören,
Die in der Näh des Eridanus liegt und Böses verübt hat.
Dann aber sinkt er dahin, getroffen vom funkelnden Eisen.
Aber nach ihm wird ein Anderer herrschen, ein Mann der verschmitzt ist,
Welcher die Dreizahl erloost, und dessen Namen der Buchstab
Kund machen wird, und dieser wird viel an Gold sich aufsammeln,
Und nicht bekömmt er genug des Reichthums Fülle; ganz schamlos
Raubt er immer noch mehr, und legt Alles unter die Erde.
Und es wird ruhen der Krieg, der Ares wird Rasttage halten.
Viel aber wird er auch kund thun durch Wahrsagerei, nach dem Grössten
Forschend, ob dem was das Leben erhält. Doch wird unter diesem
Ein sehr grosses Wahrzeichen geschehn: es fliessen vom Himmel
Blutige Tropfen herab . . . . . .
Und viel Schlechtigkeit wird er vollführen, dem Nacken der Römer
Schmerzen auflegen, und auf die Künste der Wahrsager bauen.
Und er wird richten zu Grund des Senates Häupter. Und Seuche
Rafft die Kappaner hinweg, und die Thrazier und Mazedoner;
Die Italier auch; nur Aegypten allein wird ernähren
Zahlreiches Volk. Das jungfräuliche Haupt durch Geheimnisse täuschend,
Richtet durch List der Herrscher zu Grund; doch werden die Bürger
Trauernd beerdigen sie; und Alle werden dem Dränger
Zorn aufheben und listiger Weise diesen verstümmeln.
Und dem blühenden, mächtigen Rom [werden Mörder gebieten].

Δισδεκάτου δ' ἀριθμοῦ ἄρξει πολυκοίρανος ἄλλος·
Καὶ τότε Σαυρομάταις πόλεμοι καὶ κήδεα λυγρὰ
Ἥξει, καὶ Θραξὶ, καὶ ἀκοντιστὰς Τριβάλλους,
Καὶ πάντας Ῥωμαίους ἄρης διαδηλήσεται.
Σημεῖον δ' ἔσται φοβερὸν τούτου κρατέοντος
Ἰταλικῶν γαίης καὶ Παννονίων· περὶ δ' αὐτὰς
Νὺξ ἔσται σκοτόεσσα μέσῃ ἐνὶ ἤματος ὥρῃ,
Κελαινὸς ὑετὸς κἀπ' οὐρανοῦ· αὐτὰρ ἔπειτα
Κοίρανος ἴφθιμός τε δικασπόλος Ἰταλιήων
Βήσεται εἰν ἀΐδαο δόμοισι δίης ὑπὸ μοίρης.
Πεντήκοντ' ἀριθμῶν πάλιν ἄλλος ἐλεύσεται ἀνὴρ
Δεινὸς καὶ φοβερὸς, πολλοὺς δ' αὐτοὺς ἀπολέσσει
Ἐκ πασῶν πόλεων ὄλβῳ γεγαῶτας ἀρίστους,
Δεινὸς ὄφις φύσεως, ὁ βραχὺς λόγος, ὁπότε χεῖρας
Ἡγεμόνας τανύσει, καὶ ὀλεῖ καὶ πολλὰ τελέσει
Ἀθλεύων, λαὸν κτείνων, καὶ μυρία τολμῶν·
Καὶ τμήξει τὸ δίκυμον ὄρος, λύθρῳ δὲ παλάξει.
Ἀλλ' ἔσται καὶ δισσὸς ὁλοίιος Ἰταλίδεσσιν,
Ἰσάζων Θεῷ αὐτὸν ἐλέγξει δῆμον ἑκόντα.
Εἰρήνη δ' ἔσται βαθεῖα τούτου κρατέοντος,
Καὶ τρόμοι ἀνθρώπων· ὑπὸ Αὐσονίοισι δ' ἄϊξας,
Εἶξεν ὕδωρ ἄτοπον ἀπ' ὠκεανοῖο ῥοάων.
Ἀμφὶ δὲ παπταίνων θήσει δ' ἀθλεύματα λαοῖς
Πολλὰ μάλ', ἠδ' αὐτὸς ἐνάγων ἀθλεύσειε
Φωνῇ καὶ κιθάρῃ νεύρῃ, μέλπτων ἅμ' ἀοιδήν·
Ὕστερον αὖ φύγεται λείψας βασιλήϊον ἀρχὴν,
Ὀλλύμενος δὲ κακῶς ἀποτίσεται ὅσσα ἔοργεν.
Τὸν δὲ μετὰ τρεῖς ἄρξουσιν ἐπωνυμίῃσι λαχόντες,
Ἑβδομήκοντ' ἀριθμὸν δύο κοίρανοι, εἷς δ' ἐπὶ τούτοις
Στοιχείου τριτάτου· καὶ ἐπάλλυδις ἄλλος ὀλεῖται
Ἀρηϊ κρατερῷ ὑπὸ στρατιῆς παλαμάων.
Εἶτα θ' ὁ εὐσεβέων ἥξει ὀλέτης μέγας ἀνδρῶν,
Κοίρανος, ὁμβριμόθυμος ἀνὴρ, ἀγχίπαλος ἀνήρ·
Ἑπτάκι τῷ δεκάδες κεραϊ δείξουσι πρόδηλον·
Φοινίκην ὀλέσει καὶ Λυδίαν ἐξολοθρεύσει.
Ἥξει καὶ ῥομφαῖα ἐφ' Ἱεροσολυμῆϊδα γαῖαν,
Ἄχρις ἐπ' ἐσχατίης καμπῆς Τιβεριάδος [ἅλμης].
Αἶ αἶ, Φοινίκη, ὅσα τλήσεται ἡ βαρυπενθὴς
[Σφικτῇσι] τροπαίοισι, καὶ πᾶν ἔθνος σε πατήσει.
Αἶν' ἐπ' Ἀσσυρίους ἥξει, καὶ νήπια τέκνα
Ὄψει δουλεύοντα παρ' ἀνδράσι δυσμενέεσσιν,

Aber ein andrer gewaltiger Herr wird regieren, die Zwölfzahl:
Dann wird bitteres Leid und Krieg die Sarmaten befallen,
Auch die Thrazier und die Triballer, die Werfer der Speere;
Auch allen Römern zumal wird Schaden der Kriegsgott zufügen.
Aber wann dieser regiert, wird ein schreckliches Zeichen geschehen
In dem Italischen Land und Pannonien, in welchen Gebieten
Dunkele Nacht sein wird eine Stunde lang, mitten am Tage;
Und vom Himmel herab kömmt dunkeler Regen. Doch dann wird
Der allgewaltige Herr, der Italiens Völker regieret,
Gehen ins Haus des Hades hinab durchs göttliche Schicksal.
Wiederum wird ein anderer Mann, der fünfzig als Zahl hat,
Kommen, der schrecklich und furchtbar, und Viele wird richten zu Grunde
Aus allen Städten zumal, die die Ersten an Wohlstand gewesen,
Der von Natur eine schreckliche Schlange und kurz ist im Reden,
Wann er die herrschende Hand ausstreckt und verdirbt, und vollführet
Vieles im Kampf, und tödtet das Volk, und waget gar Vieles.
Und den zweimeerigen Berg durchsticht er und färbt ihn mit Mordblut.
Aber er wird zwiefach verderblich auch sein den Italern,
Achtend sich Gott gleich wird er verachten den willigen Demos.
Aber beständiger Friede wird herrschen, wann dieser regieret,
Und ein Beben des Volks. Wann er über Ausonien herfährt,
Weicht ungewöhnlich das Wasser zurück von des Oceans Strömen.
Aber rings spähend umher wird dem Volk er Wettkämpfe bereiten
Viele an Zahl, auch selber anregend im Wettkampf sich zeigen,
Mit seiner Stimme und auf der Cither Gesänge anstimmen.
Später jedoch entflieht er, verlassend der Könige Herrschaft,
Und in elendem Tod wird er büssen für was er gefrevelt.
Dann aber herrschen nach ihm Drei; siebenzig zählen in Zahlen
Zwei der Regenten, dazu der Eine den dritten Buchstaben
Als den seinigen hat, die gehn nach einander zu Grunde
Durch den gewaltigen Mars und unter den Händen des Heeres.
Und es wird kommen alsdann der grosse Vernichter der Frommen,
Der ist ein Herrscher, geneigt zur Gewalt, ein tapferer Streiter;
Zeichen der Zahl von sieben mal zehn werden kennbar ihn machen.
Dieser vernichtet Phönizien und wird Lydien zerstören.
Auch wird alsdann das Schwerdt zum Land von Jerusalem kommen,
Bis wo die äusserste Bucht des Sees von Tiberias ausläuft.
Wehe, Phönizien, weh, wie viel wirst betrübte du dulden!
Wirst in Trophäen erwürgt und von jeglichem Volke mishandelt.
Schrecklich wirds Assur betreffen, und die unmündigen Kinder
Wird man schauen im Dienst bei feindlich gesinneten Männern,

Σύν τ' ἀλόχοις, καὶ παντὶ βίῳ, πλοῦτος δ' ἀπολεῖται·
Ὀργὴ γάρ τε Θεοῦ ἐπελεύσεται ἣ βαρυπένθης,
Ὅτι [μιν] οὐκ ἐφύλαξαν νέον νόμον, ἀλλ' ἐπὶ πᾶσιν
Εἰδώλοις ἐλάτρευσαν ἀεικελίῃσι τέχνῃσι.
Πολλοὶ δ' αὖ πόλεμοί τε, μάχαι τ', ἀνδροκτασίαι τε,
Λιμοὶ καὶ λοιμοί, ἀκαταστασίαι τε πόλεων.
Εἰς δὲ τὸ τέρμα βίου γεραρὸς βασιλεὺς μεγάθυμος
Αὐτὸς ἀριστεύων πέσεται στρατιῆς ὑπ' ἀνάγκης.
Ἄρξουσι μετέπειτα δύο φῶτες ἄνακτες,
Στέργοντες μνήμην πατέρος μεγάλου βασιλῆος,
Πολλὰ δὲ κυδιάοντες ἐν ἀγχιπάλοισι μαχηταῖς.
Ἔσται δ' ἐκ τούτων ἐσθλὸς καὶ κοίρανος ἀνὴρ,
Τοὔνομα δὲ σχήσει τριακοσίων· αὐτὰρ οὗτος
Καππέσεται δολίως κελαινῇ [στρατιήσι] τανυσθεὶς,
Βληθεὶς δ' ἐν δαπέδῳ Ῥώμης [ἀμφίκειτ'] χαλκῷ.
Καί τις δ' αὖ μετὰ τοῦτον ἀνὴρ κρατερὸς αἰχμητὴς,
Τετράδος ἐκ κεράης, ἄρξει μεγάλης βασιλείης,
Ὃν πάντες στέρξουσι βροτοὶ κατ' ἀπείρονα γαῖαν.
Καὶ τότε γ' ἄμπαυσις πολέμου κατὰ κόσμον ἅπαντα
Ἔσται. Αὐτὰρ τούτῳ κεν ἀφ' ἑσπερίης μέχρις ἠοῦς
Πάντες δουλεύσουσιν ἑκούσιοι, οὐδ' ὑπ' ἀνάγκης,
Καὶ πόλις αὐτόματοι ὑποχείριοι δ' ἠδ' ὑπόδουλοι
Ἔσονται. μάλα γάρ μιν ἐπ' αὐτῷ κῦδος ἐποίσει
Οὐράνιος Σαβαὼθ, Θεὸς ἄφθιτος, αἰθέρι ναίων.
Καὶ τότε Παννονίην καὶ Κελτίδα γαῖαν ἅπασαν
Μειώσει λιμὸς καὶ ἐπ' ἀλλήλοισιν ὀλέσσει.
Ἔσσεται Ἀσσυρίοις, ὥσπερ παρεκλύζετ' Ὀρόντης
Κτίσμασι, καὶ κόσμος καὶ εἴ πού τι μεῖζον ὁρᾶται.
Καὶ τούτους βασιλεὺς στέρξει μέγας ἠδ' ἀγαπήσει
Ἔξοχα τῶν ἄλλων [πολλοὶ τινές]· ἀλλὰ μὴν αὐτὸς
Λέξεται ὠτειλὴν μεγάλην ἐν στήθεϊ μέσσῳ,
Εἰς τὸ τέλος βιότου τε δολίως ληφθεὶς ὑφ' ἑταίρου
Εἴσω ἐνὶ ζαθέῳ μεγάλῳ βασιληΐδος οἴκῳ,
Καππέσεται τρωθείς· μετὰ δ' αὐτὸν κοίρανος ἔσται,
Πεντήκοντ' ἀριθμὸν γεραρὸς βροτὸς, ὃς περὶ πάντα
Πολλοὺς ἐξολέσει Ῥώμης ἀστούς τε πολίτας.
Ἀλλ' ὀλιγαρχήσει· διὰ γὰρ πρότερον βασιλῆα
Βήσεται εἰν ἄΐδαο δόμοις, τρωθεὶς μετόπισθεν.
Αὐτίκ' ἔπειτ' ἄλλος βασιλεὺς ἔστ' αἰχμητὴς,
Ὅστε τριηκοσίων ἀριθμὸν λάχεν ἔντυπον ἀρχήν·
Ἄρξει, καὶ Θρᾳκῶν γαίην πολυποίκιλον οὖσαν

Mit den Gattinnen, Allem was lebt, und der Reichthum verschwindet:
Denn es wird brechen herein das leidvolle göttliche Zürnen,
Weil sie das neue Gesetz nicht bewahrten; vielmehr überall nur
Götzen Verehrung erwiesen mit ganz unziemlichen Künsten.
Aber es werden nachher viel Kriege und Schlachten und Morden
Unter den Menschen entstehn, Pest, Hunger und Aufruhr in Städten.
Aber am Ziele des Lebens wird fallen der alte und edle
König, der treffliche Mann, gefällt durch die Noth seines Heeres.
Und es werden nachher zwei Männer als Herrscher regieren,
Welche des Vaters Andenken, des grossen Königes, lieben.
Und viel Ruhm werden sie unter tapferen Streitern sich sammeln.
Aber ein trefflicher Mann, ein Herrscher wird kommen von diesen,
Welcher nach dreimal hundert genannt wird. Aber auch dieser
Sinket dahin, durch Betrug seines Heeres im Blute gewälzet,
Fällt in dem Römischen Land durch die Wucht des zweischneidigen Eisens.
Und nach ihm wiederum wird ein mächtiger Schwinger der Lanze,
Welcher die Vierzahl trägt, das mächtige Reich dann regieren;
Den werden alle die Menschen der weiten Erde lieb haben.
Und es wird ruhen alsdann der Krieg auf der sämmtlichen Erde.
Jenem jedoch werden sie vom Abende bis gegen Morgen
Dienstbar sein Alle zumal, aus Zwang nicht, sondern freiwillig.
Und es werden die Städte von selbst unterthan und ergeben
Ihm sein: denn sehr vielen Ruhm wird der Himmlische über ihn bringen,
Gott, Sabaoth, der ewige, welcher den Himmel bewohnet.
Und Pannonien wird, und die sämmtliche Celtische Erde
Dann der Hunger auslichten, sie unter einander vernichtend.
Auch dem Assyrier wird, so wie der Orontes anspület
An seine Städte, die Pracht sein, und was sich sonst Besseres zeiget.
Und sie wird der mächtige König lieben vorzüglich,
Mehr als die anderen alle. Doch wird er selber empfangen
Eine Wunde, die weit und gross in Mitte der Brust klafft.
Zu dem Ziele gebracht des Lebens mit List von dem Freunde
Drinnen im prächtigen Haus, in dem grossen Königspalaste,
Sinkt er getroffen dahin. Und nach ihm folget ein Herrscher,
Fünfzig an Zahl, ein stattlicher Mann, der über die Maassen
Viele der Bürger von Rom und Städtebewohner vertilget.
Doch nur wenige Zeit wird er herrschen; denn hin wird er gehen
Wegen des früheren Königs zum Hades, von rücklings ermordet.
Bald wird ein anderer drauf, ein tapferer König erscheinen,
Welcher die Zahl dreihundert erhielt als Zeichen der Herrschaft.
Der wird regieren und auch das Thrazier-Land, das verschiedne,

Ἐκπέρσει, καὶ τοὺς ἐπὶ ἕσχατα βάρβαρα Ῥήνου
Γερμανοὺς ναίοντας, οἰστροβόλους δ' Ἴβηρας.
Αὐτίκα καὶ Ἰουδαίοις κακὸν ἔσσεται ἄλλο μέγιστον,
Φοινίκη δ' ἐπὶ τοῖς πίεται φόνον ὀμβριόεντα·
Τείχη δ' Ἀσσυρίων πέσεται πολλοῖς πολεμισταῖς.
Καὶ πάλιν ἐξολέσει τούτους θυμόφθορος ἀνήρ.
Ἔσονται δ' ἔπειτα [τούτου] κρατέοντος ἀπειλαὶ,
Σεισμοὶ καὶ λοιμοὶ μεγάλοι κατὰ γαῖαν ἅπασαν,
Καὶ νιφετοὶ παρὰ καιρὸν, αὐτὰρ μαλεροί τε κεραυνοί.
Καὶ τότε δὴ βασιλεὺς ὁ μέγας διὰ μῶλον ἄρηος,
Κελτὸς ἀρειοβάτης, σπεύδων ἐπὶ δῆριν ἀγῶνος,
Μοῖραν ἀεικελίην οὐ φεύξεται, ἀλλὰ θανεῖται·
[Ὃν κόνις] ἀλλοτρίη κρύψει νέκυν, [οὔνομα δ' εἴη]
Ἄνθεος οὔνομ' ἔχουσα. Μετ' αὐτὸν δ' ἄλλος ἀνάξει
[Ἀργεὺς κεῖνος] ἀνὴρ, τοῦ δ' ἔσσεται οὔνομα πόντου,
Ἀρχὴν στοιχείου προφέρων τετρασύλλαβος ἄρης.
Θύτους καὶ ναοὺς πόλεσι πάσαις ἀναθήσει,
Κόσμον ἐποπτεύων ἰδίῳ ποδὶ, δῶρα κομίζων,
Χρυσόν τ' ἤλεκτρον πολὺν πολλοῖς παρέξει.
Οὗτος καὶ μαγίκῶν μυστήρια πάντα καθέξει
Ἐξ ἀδύτων, καὶ μὴν πολὺ φέρτερον ἀνθρώποισιν
Θήσει κοιρανέοντα . . . . . κεραυνός·
Εἰρήνη δὲ μακρὰ γενήσεται, ὁππόταν ἔσται
οὗτος, δ' ἄναξ ἔσται [γε] καὶ ἀγλαόφωνος ἀοιδὸς,
Καὶ νομίμων μέτοχος, θεμιστοπόλος τε δίκαιος·
Αὐτὸς δ' αὖ πέσεται μοίρῃ δίῃ καταλύσας.
Τὸν δὲ μετὰ τρεῖς ἄρξουσιν, ὁ δὲ τρίτος ὀψὲ κρατήσει,
Τρεῖς δεκάδας κατέχων· ἀτὰρ μονάδος πάλιν πρώτῃ
Ἄλλος ἄναξ ἄρξει· μετὰ δ' αὐτὸν κοίρανος ἄλλος,
Ἐκ δεκάδων ἑπτὰ τοῖς οὐνόματ' ἔσσεται ἐσθλά·
Αὐτοὶ δ' αὖτ' ὀλέσουσι πολυστίκτους ἀνθρώπους,
Βρεττανοὺς, Μαύρους μεγάλους, Λάκας, Ἄραβάς τε.
Ἀλλ' ὁπόταν τούτων ὁ νεώτατος ἐξαπολεῖται,
Λὴ τότε Παρθίᾳ πάλιν ἐπελεύσεται ἄρης
Λεινὸς, ὁ πρὶν τρώσας, καὶ εἰς τέλος ἐξαλαπάξει.
Καὶ τότε δ' αὐτὸς ἄναξ πέσεται δολίου ὑπὸ θηρὸς,
Γυμνάζων παλάμας, πρόφασις δ' αὐτῷ θανάτοιο.
Τὸν μετὰ γ' ἄλλος ἀνὴρ ἄρξει, σοφὰ πολλά τε εἰδὼς,
Τοὔνομ' ἔχων πρώτου κρατεροῦ βασιλῆος,
Ἐκ μονάδος πρώτης ἔσται δ' ἀγαθός τε μέγας τε·
Πολλὰ κ' ἂν ἐκτελέσῃ κρατερὸς μεγάροισι Λατίνοις,

Wird er verwüsten, und auch die am äussersten Ende des Fremdlands
Wohnen, am Rhein die Germanen und Iberer, die Werfer der Speere.
Bald aber wird auch die Juden ein anderes schreckliches Uebel
Treffen, Phönizien auch wird schlürfen das schlüpfrige Mordblut;
Und der Assyrier Städte stürtzen durch zahlreiche Krieger.
Und wiederum wird sie der schreckliche Mann einst vernichten.
Aber wann dieser regiert, dann werden Drohzeichen erscheinen,
Erderschüttrung und schreckliche Pest auf der sämmtlichen Erde,
Und unzeitlicher Schnee, so wie auch sehr schreckliche Blitze.
Auch wird alsdann der König, der gross durch das Mühsal des Krieges,
Ein kriegsmuthiger Celte, der stürmet zum Kampfe des Heeres,
Nicht entfliehn dem unziemlichen Loos, sondern lassen das Leben;
Und als Leiche birgt ihn eine fremde Erde, den Namen
Nach einer Blume sie trägt. Nach ihm aber herrschet ein andrer
Mann mit silbernem Haupt; sein Name ist der eines Meeres,
Zeigend des Buchstabens Anfang, ein viersylbiger Kriegsmann.
Opferpriester und Tempel wird weihn er sämmtlichen Städten,
Und mit eigenem Fuss die Welt durchziehn, und Geschenke
Bringen, mit Gold und vielem Geschmeide Viele beschenken.
Dieser wird auch die Mysterien alle der Magier halten
Aus den Tempeln zurück und den Menschen viel Besseres geben.
Einen, der herrscht . . . . . .
Aber ein dauernder Friede wird sein, wann dieser regieret,
Und ein Herrscher ist er, und auch ein vortrefflicher Sänger,
Theilnehmer an dem Gesetz und gerechter Verwalter des Rechtes.
Aber auch er wird fallen nachher durchs göttliche Schicksal.
Und nach ihm herrschen drei, der dritte wird später gebieten
Drei Dekaden hindurch. Doch wieder die erste Monade
Herrschet ein anderer Herr; und nach ihm ein andrer Gebieter,
Und ihr trefflicher Name ist ihnen von sieben Dekaden.
Die aber werden nachher die Menschen [in Masse] vernichten,
Die Britanner, die mächtigen Maurer, die Dazier, Araber.
Aber wenn dann der jüngste von ihnen zu Grunde gegangen,
Dann wird auch wiederum nach Parthien der schreckliche Ares
Kommen, der früher sie schlug, und der wird sie vollends verwüsten.
Und alsdann wird der Fürst selbst durch eines Thieres Verschmitztheit
Fallen während er ringt; so wird er zum Tode gelangen.
Folgen wird ihm ein anderer Herr, der vielerlei Weisheit
Kennet, den Namen er führt des ersten, gewaltigen Königs,
Aus der ersten Monade ist er, so trefflich als mächtig.
Vieles auch wird ausführen daheim den Lateinern der Herrscher,

Μνήμης εἵνεκα πατρὸς ἐσαυτίκα τείχεα Ῥώμης
Κοσμήσει χρυσῷ τε καὶ ἀργύρῳ, ἠδ' ἐλέφαντι,
Ἐν τ' ἀγοραῖς ναοῖς τε μολὼν σὺν φωτὶ κραταιῷ.
Καί ποτε Ῥωμαίοισιν ἀνασταχυώσεται ἕλκος
Δεινότατον πολέμοις, χώρην δέ μιν ἐξαλαπάξει
Πᾶσαν Γερμανῶν, ὁπόταν μέγα σῆμα Θεοῖο
Οὐρανόθεν προφανῇ, καὶ τότ' ἄνδρας χαλκοκορυστὰς
Τρυχομένους σώσειε δι' εὐσεβίην βασιλῆος·
Αὐτῷ γὰρ Θεὸς οὐράνιος μάλα πάνθ' ὑπακούσει,
Εὐξάμενος βρέξει παρὰ καιρὸν ὄμβριον ὕδωρ.
Ἀλλ' ὁπόταν δὴ ταῦτα τελειώθῃ ἅπερ εἶπον,
Καὶ τότε δὴ κλυτὴ βασιλεία μεγαλοῖο ἄνακτος
Εὐσεβέος λείψει, περιτελλομένοις ἐνιαυτοῖς·
Εἰς δὲ τὸ τέρμα βίου τὸν νέον γόνον ἀμφαναδείξας,
Εἰς βασίλειον ναίοντα, θανάτῳ ἰδίης ὑπὸ μοίρης,
Ξανθῷ κοιρανέοντι λιπὼν βασιλήϊον ἀρχήν.
Ὡς δεκάδων ἐκ δύο τοὔνομα, πατρὸς ἑοῖο
Ἐκ γενετῆς βασιλεὺς γεγαὼς, διαδέξεται ἄρης
Οὗτος ἀνὴρ, ἕξει περισσοτέρῳ τε λογισμῷ
Πάντα, ἀτὰρ μεγάθυμον ὑπέρβιον Ἡρακλῆα
Ζηλώσει, καὶ ὅπλοισιν ἀριστεύσει κρατεροῖσιν·
Ἐν τε κυνηγίαισι καὶ ἱππίαισι μέγιστον
Κῦδος ἔχων· σφαλερῶς δὲ βιώσεται οἰόθεν οἶος.
Σῆμα δέ οἱ ἔσται φοβερὸν τούτου κρατέοντος·
Ἐν δαπέδῳ Ῥώμης ἔσται μεγάλη δμίχλη τε,
Ὡς ἕτερον μὴ ὁρῶν μερόπων τὸν πλησίον αὐτοῦ.
Καὶ τότε δὴ πόλεμοί τε, ὁμοῦ καὶ κήδεα λυγρὰ,
Ὁππόταν αὐτὸς ἄναξ ἐρωτομανὴς, ὃ μεμηνὼς
Ἥξει, ἐπαισχύνων τὸ νέον γένος ἐν λεχέεσσιν,
Αἰσχρὸς ἀβουλεύτοις ἐπ' οὐχ ὁσίοις ὑμεναίοις.
Δὴ τότε χηροσύνῃ κρυφθεὶς μέγας [οὐλαμὸς ἀνὴρ],
Μῆνιν ὑποσχόμενος κακὰ χώσεται ἐν βαλανείῳ,
Ἀνὴρ ἀνδροφόνος δολίαις μοίραισι πεδηθείς.
Ἴσθι τότε Ῥώμης ὀλοὸν θρόνον ἐγγὺς ἐόντα
Ζήλου κοιρανίης ἕνεκεν, πολλοὶ δ' ἀπολοῦνται
Παλλαδίοισι δόμοισιν ὑπ' ἄρηος παλαμάων.
Καὶ τότε χηρεύσει Ῥώμη καὶ πάντ' ἀποτίσει,
Ὅσσα πάρος μούνη πολέμοις πολλοῖσιν ἔδρασεν.
Κλαίει μοι κραδίη, κλαίει δέ μοι ἔνδοθεν ἦτορ·
Ἐξότε γὰρ πρῶτος βασιλεὺς ὑψαυχένου Ῥώμης,
Οἷς νόμον ἐσθλὸν ἔθηκεν ἐπιχθονίοις ἀνθρώποις,

Als Andenken sofort an den Vater ausschmücken die Mauern
Roms mit Gold und mit Elfenbein und mit Silber; auch wird er
Mit einem tapferen Mann die Plätze und Tempel besuchen.
Und den Römern wird auch die gewaltigste Kraft in dem Kriege
Er entwickeln, und dann das sämmtliche Land der Germanen
Richten verheerend zu Grund, wann ein grosses Wahrzeichen von Gott einst
An dem Himmel erscheint. Und die Erzbehelmten bedrängten
Männer, die wird er alsdann ob des Königes Frömmigkeit retten:
Denn der himmlische Gott wird ihn in sehr Vielem erhören,
Und angefleht lässt er ausser der Zeit feuchtes Wasser ihm regnen.
Aber wenn dann auch dieses erfüllt, was ich eben gemeldet,
Dann wird auch das gefeierte Reich des mächtigen, frommen
Königes nehmen ein End, wann herum die Jahre sich wälzen.
Aber am Ziel des Lebens wird er den Sprössling, den jungen
Ausrufen, der im Pallast wohnt; diesem, dem blonden Gebieter
Lässt er zurück das Reich, wann dem Tod er durchs Schicksal erlegen.
So von zwei mal zehn ist sein Name, und aus seines Vaters
Eignem Geschlecht ein König geworden, nachfolget als Krieger
Dieser und wird durch reichen Verstand auch Alles erhalten.
Aber er eifert auch nach dem gewaltigen, edlen Herakles,
Und wird sein in der Waffen Gewalt als einer der Ersten;
Und durch die Jagd und im Jagen zu Ross hat gewaltigen Ruhm er.
Aber der Sicherheit baar wird getrennt und einsam er leben.
Aber wann dieser herrscht wird ein schreckliches Zeichen ihm werden:
In Roms Umgegend wird ein gewaltiger Nebel entstehen,
So dass der Eine nicht sieht von den Menschen den eigenen Nachbar.
Und dann entbrennt der Krieg und zugleich unselige Leiden,
Wann der Gebietende selbst, von Liebe bethöret, im Wahnsinn
Kömmt und das junge Geschlecht verunehrt im ehlichen Lager,
Schmachvoll bei unverständ'gen, unheiligen Hochzeitsgesängen:
Dann wird der grosse verderbliche Mann, verlassen und heimlich
Sich überlassend dem Zorn [gar gewaltig zürnen im Bade];
Er, der die Männer erwürgt, ist gefesselt durchs tückische Schicksal.
Wisse, dass dann in der Nähe für Rom ein verderblicher Thron ist,
Wegen des Strebens nach Macht; und Viele werden zu Grund gehn
In des Pallastes Gemächern und unter den Händen des Ares.
Und Rom wird verödet dann sein und Alles entgelten,
Was es einzig vordem in zahlreichen Kriegen verübt hat.
Mir aber weinet das Herz, im Innersten weint mir die Seele:
Denn seitdem im hochragenden Rom der erste der Herrscher
Ihnen das gute Gesetz gegeben, den irdischen Menschen,

Καὶ Λόγος ἀθανάτου μεγάλου Θεοῦ ἦλθεν εἰς γῆν,
Ἐννεακαιδεκάτης βασιληΐδος ἄχρι τελευτῆς,
Αἷς ἑκατὸν δὶς εἴκοσι καὶ δὶς δύο πληρώσειεν,
Πρὸς τοῖς ἓξ μησὶν ἕτερον χρόνον, εἶτα γενέθλην
Χήρην εἰκοστὸς βασιλεὺς, ὅτε σοῖσι μαλάθροις
Φασγάνῳ αἷμα χέει, βεβολημένος ὀξέϊ χαλκῷ·
Ὀγδοήκοντ' ἀριθμὸν ἔτεος στοιχεῖον ὃ δηλοῖ
Οὔνομα, καὶ βαρὺ γῆρας ἔχων· χήρην δὲ ποιήσει
Εἰν ὀλίγῳ καιρῷ, ὁπόταν πολλοὶ πολεμισταὶ,
Πολλοὶ πρηνισμοί τε, φόνοι τ', ἀνδροκτασίαι τε,
Οὐλομέναι τ' ἔριδες, καὶ ὀϋζύος εἵνεκα νίκης
Κοιρανίης, πολλοί τ' ἐπιμὶξ ἵπποί τε καὶ ἄνδρες
Ἐν δαπέδῳ πολέμοισιν ἀεξόμενοι πεσσέονται.
Καὶ τότε δ' ἄλλος ἀνὴρ ἥξει, δεκάτου ἀριθμοῖο
Οὐνόματος σημεῖον ἔχων, καὶ πολλὰ ποιήσει
Ἄλγεα καὶ στοναχὰς, πολλοὺς δέ τοι ἐξαλαπάξει·
Ὠκύμορος δ' αὐτὸς πάλιν ἔσσεται, ἠδὲ πεσεῖται
Ἄρῃ κρατερῷ βληθεὶς αἴθωνι σιδήρῳ.
Ἄλλος πεντήκοντ' ἀριθμὸν ἥξει πολεμιστὴς,
Κοιρανίης ἕνεκεν ἀπ' ἀντολίης ἐπεγερθείς·
Μέχρι δὲ καὶ Θρήκης ἥξει πολέμιος ἄρης·
Καὶ φύγεται μετέπειτα, καὶ εἰς Βιθυνῶν πέδον ἥξει,
Καὶ Κιλίκων δάπεδον· ταχὺ δ' αὐτὸν χάλκεος ἄρης
Ἀσσυρίοις πεδίοις θυμοφθόρος ἐξαλαπάξει.
Καὶ τότε κρατήσει δολίως, ἐπιτήδεια εἰδὼς,
Ἀνὴρ ποικιλόμητις, ἀφ' ἑσπερίης ἐπεγερθείς,
Οὔνομα δὲ σχήσει διακοσίων ἀριθμοίων.
Σημεῖον πολὺ μᾶλλον, ὑπὲρ βασιλήϊδος ἀρχῆς,
Συστήσει πόλεμον κατ' Ἀσσυρίων ἀνθρώπων,
Συλλέξας πᾶσαν στρατιὴν, καὶ πάνθ' ὑποτάξει.
Ῥωμαίοις δ' ἄρξειε μέγα κράτος, ἐν φρεσὶ δ' αὐτοῦ
Πολλὴ μηχανὴ ὀλοόφρονος ἄρεος ὀργὴ,
Δεινὸς ὄφις πολέμου τε βαρὺς, ὃς πάντας ὀλέσσει
Ὑψηλοὺς γεγαότας ἐπιχθονίους ἀνθρώπους
Ἐσθλοὺς, καί τινας πλούτου χάριν, οἷά τε ἀστὴρ,
Συλλήσας χθόνα πᾶσαν ἀπολλυμένων ἀνθρώπων,
Θήσει ἐπ' ἀντολίην, καὶ πᾶς δόλος ἔσσεται αὐτοῖς.
[Ἐν] δ' ὅτε νηπίαχος καῖσαρ σὺν τῷ βασιλεύσῃ,
Τοὔνομ' ἔχων βριάροιο Μακεδονίοιο ἄνακτος,
Στοιχείου ἀρχομένου, περὶ δ' αὐτοῦ μῶλος ἀπάξας,
Ἐκφύγεται δόλον αἰπὺν ἐπερχομένου βασιλῆος

Und auf die Erde das Wort des grossen unsterblichen Gottes
Kam, bis zum Ende des neunzehnten Reiches, werden zweihundert
Zwei mal zwanzig und zwei mal zwei der Jahre ausfüllen;
Zu sechs Monaten noch eine andere Zeit; den verwaisten
Spross nachher der zwanzigste König, wann Blut mit dem Schwerte
Er vergiesset bei dir und fällt durchs schneidende Eisen.
Der Buchstabe der achtzigsten Zahl des Jahres den Namen
Kund thut, ihn an Alter bejahrt, und er macht es zur Wittwe
In ganz weniger Zeit, wann einst die zahlreichen Krieger,
Wann Zerstörung viel und Mord und Männerermordung,
Und verderblicher Streit und Zank herrscht wegen des Sieges
Um die Obergewalt; und vermengt viele Pferde und Menschen
Sinken im Lande dahin, die waren erwachsen im Kriege.
Und dann wird ein anderer Mann erscheinen; der Zehnzahl
Zeichen er führt im Namen, und viel wird dieser bereiten
Schmerz und banges Gestöhn, und Viele wird er auch berauben.
Aber auch er wiederum wird kurzlebig sein und hinsinken
Durch den gewaltigen Mars, und getroffen vom funkelnden Eisen.
Mit der Zahl von fünfzig kömmt drauf ein anderer Kriegsmann,
Wegen der Herrschergewalt erweckt vom Lande gen Aufgang.
Aber bis Thrazien selbst wird kommen der kriegrische Ares;
Und er entfliehet darauf und gelangt in das Land der Bithyner
Und der Cilicier Gebiet. Aber schnell wird der eherne Mavors
Der dem Assyrischen Land verderblich ist, diesen berauben.
Dann wird erringen die Macht, voll List und im Heucheln erfahren,
Ein verschlagener Mann, herkommend vom Lande gen Abend,
Und seinen Namen wird er von der Zahl der zweihunderte führen.
Ueber des Reiches Gebiet hinaus, ein viel grösseres Zeichen,
Wird er beginnen den Krieg gegen die Assyrischen Männer,
Sammelnd das sämmtliche Heer, und Alles wird er unterwerfen.
Aber die Römer beherrscht mit gewaltiger Macht er; im Sinne
Trägt er jedoch viel List und den Zorn des verderblichen Ares;
Eine erschreckliche Schlange im Krieg, schwer drückend, der Alle
Richtet zu Grund, die ragen hervor von den irdischen Menschen,
Edle und Einige auch ob des Reichthums; dem Meteor gleich,
Plündernd das sämmtliche Land der zu Grunde gerichteten Menschen,
Strebt er dem Orient zu, und es trifft sie jegliche Arglist.
Wann über ihn mit diesem einst herrscht ein unmündiger Kaiser,
Führend dess Namen, der einst Macedonien kräftig beherrschte,
Da wo das Wort anhebt; und um ihn sich entfernet das Mühsal;
Dann entflieht er der schädlichen List des kommenden Königs

Ἐν κόλποις στρατιῆς· ὁ δὲ βαρβαρικοῖσιν ἐθισμοῖς
Ἄρχων ἐξαπίνης ὁ [νεωκόρος] ἐξαπολεῖται
Ἄρῃ κρατερῷ τμηθεὶς αἴθωνι σιδήρῳ·
Τὸν καὶ τεθνηῶτα λαὸς διαδηλήσεται.
Καὶ τότε δὴ βασιλεῖς Περσῶν ἐπαναστήσονται
Κ . . . Ῥωμαίοις ἄρης Ῥωμαῖον ἄνακτα.
Καὶ Φρυγίη σεισμοῖσι πολυμήλης στοναχήσει.
Αἶ αἶ Λαοδίκεια, αἶ αἶ Ἱεράπολις τλήμων·
Ὑμᾶς γὰρ πρώτας ποτ' ἐδέξατο γαῖα χανοῦσα.
Ῥώμης πελώρια αὐσ . . . πάνθ' ὅσα οἰμώξει,
Πάνθ' ὅσα οἰμώξει ἀπολλυμένων ἀνθρώπων,
Ἄρεος ἐν παλάμῃσι· κακὴ δέ σοι ἔσσεται αἶσα.
Ἀνδρῶν αὐτὰρ [. . τὰ] καὶ ἀντολίης δι' ὁδοῖο,
Σπεύδων Ἰταλίην κατιδεῖν, αἴθωνι σιδήρῳ
Γυμνωθεὶς πέσεται, διὰ μητέρα μῖσος ἀγείρας.
Ὧραι γὰρ πάντα . . . . τάρτη δ' ἄλλο καθέξει
Αἰθομένου . . . τὸ δ' οὐχ ἅμα πάντες ἴσασιν·
Οὐ γὰρ πάντων πάντα, μόνοι δ' ἐπὶ τέρψιν ἔσονται,
Οἳ Θεὸν ἀσκήσουσι καὶ εἰδώλων ἐλάθοντο.
Νῦν δ' ἄναξ κόσμου, βασιλεὺς πάσης βασιλείας,
Ἄψευστ', ἀθάνατε· σὺ γὰρ εἰς ἐμὸν ἦτορ ἔθηκας
Ἀοιδὴν ἀμβροσίην, παῦσον λόγου· οὐδὲ γὰρ οἶδα
Οἷα λέγω· σὺ γὰρ εἶ ἐν ἐμοὶ ὁ τὰ πάντ' ἀγορεύων.
Βαιὸν δ' ἂν παῦσόν με, καὶ ἱμερόεσσαν ἀοιδὴν
Κάτθες ἐμῆς κραδίης· κέκμηκε γὰρ ἔνδοθεν ἦτορ
Θεσπεσίων ἐπέων, προλέγων βασιληΐδος ἀρχῆς.

In dem Schoose des Heers. Aber der nach barbarischer Sitte
Seine Herrschaft ausübt, wird plötzlich im Zorne vernichtet
Durch des Ares Gewalt und getroffen vom funkelnden Eisen;
Ihn auch wann er schon todt ist, wird das Volk noch beschäd'gen.
Und es werden alsdann auch der Perser Könige aufstehn,
Und den Römern [raubt] der Krieg den Römischen Herrscher.
Phrygien, reich an Heerden, wird auch von Erschütterung stöhnen.
Weh, weh, Laodicea! weh, weh, Hierapolis, armes!
Euch hat zuerst ehedem verschlungen die gähnende Erde.
Rom, wie ein Riese so gross, wie wird es beständig aufseufzen,
Wie wirds stöhnen so sehr, wann ihm seine Menschen zu Grund gehn
Durch des Krieges Gewalt; dir drohet ein übles Verhängniss.
Aber der Männer . . . . . der auf dem Wege gen Osten
Eilt um Italien zu sehn, der wird durchs blitzende Eisen
Hingestrecket entblösst, um die Mutter den Hass sich zuziehend.
. . . . . .
. . . . . doch dies wissen nicht Alle;
Denn nicht für Alle ist Alles; allein nur werden sich freuen
Jene die Gott verehren und nicht der Götzen gedenken.
Nun aber Herrscher der Welt und König von jeglichem Reiche,
Unnahbarer, Unsterblicher, du gabst ewigen Sang mir
In mein Herz. Höre auf mit der Rede; denn nimmermehr weiss ich
Was ich sage; denn du bists, welcher mir Alles verkündigt.
Lass ein wenig mich ruhn, und dann lege liebe Gesänge
Mir in die Brust wiederum; denn ermüdet bin ich im Herzen
Von dem göttlichen Sang, der Reiche Herrschaft verkündend.

ΤΩΝ ΣΙΒΥΛΛΙΑΚΩΝ

ΧΡΗΣΜΩΝ

ΛΟΓΟΣ ΕΝΔΕΚΑΤΟΣ (ΤΡΙΣΚΑΙΔΕΚΑΤΟΣ).

Θεῖον ἀείδειν με λόγον κέλεται μέγαν [αὖθις]
Ἅγιος, ἀθάνατος Θεὸς ἄφθιτος, ὃς βασιλεῦσιν
Λῶκε κράτος καὶ ἀφείλατο, δὴ χρόνον ὥρισεν αὐτοῖς
Ἀμφοτέρων, ζωῆς τε καὶ οὐλομένου θανάτοιο.
Καὶ τὰ μὲν οὐράνιός τε Θεὸς ἐκοῦσαν ἐπάγει
Ἀγγελίην βασιλεῦσιν ὑπὲρ βασιληΐδος ἀρχῆς.
. . . . . .
. . . . . .
Καὶ δόρυ θοῦρος ἄρης, ὑπὸ δ' αὐτοῦ πάντες ὀλοῦνται.
. . . . . .
Νηπίαχος γεγαώς τε θεμιστεύει ἀγοραῖσιν·
Πολλοὶ γὰρ πόλεμοί τε, μάχαι τ', ἀνδροκτασίαι τε,
Λιμοὶ καὶ λοιμοί, σεισμοὶ, μαλεροί τε κεραυνοί.
Ἀσσυρίων τε πόροι πολλοὶ κατὰ κόσμον ἅπαντα,
Ἤδὲ λεηλασίη τε, καὶ ἱεροσυλία ναῶν.
Καὶ τότε δὴ Περσῶν ἐπανάστασις ἀλφηστήρων,
Ἰνδῶν, Ἀρμενίων, Ἀράβων θ' ἅμα, καὶ περὶ τούτοις
Ῥωμαίοις πελάσει βασιλεὺς πολέμου ἀκόρητος,
Αἰχμητὴς, ἐπάγων καὶ ἐπ' Ἀσσυρίους, νέος ἄρης,
Ἄχρις ἐπ' Εὐφράτην τε βαθύῤῥοον ἀργυροδίνην
Ἐκτανύσει πέμψας [ὀλίγην] *πολέμιος ἄρης.*
[*Ἴδετε ὡς*] *ἕνεκα· καὶ γὰρ προδοθεὶς ὑφ' ἑταίρου*
Καππέσετ' ἐν τάξει, τυφθεὶς αἰθωνι σιδήρῳ.
Αὐτίκα δ' αὖτ' ἄρξει φιλοπόρφυρος αἰχμητής τε
Ἐκ Συρίης προφανεὶς, ἄρεος φόβος, ἔν τε καὶ υἱῷ
Καίσαρι καὶ πείσει πᾶσαν χθόνα· τοὔνομα δ' αὐτοῖς

SIBYLLINISCHE WEISSAGUNGEN.

EILFTES (DREIZEHNTES) BUCH.

Grossen Gottes-Gesang zu singen gebietet mir wieder
Gott, der heilig, unsterblich und ewig ist, welcher den Herrschern
Giebt und nimmt die Gewalt, und der auch ihnen bestimmet
Beides, die Zeit des Lebens und die des vernichtenden Todes.
Und es treibt der himmlische Gott zur willigen Botschaft
An die Herrscher mich an, sie betrifft der Könige Herrschaft.
. . . . . .
. . . . . .
Mars auch, der mit dem Speer stürmt, ihm werden Alle erliegen.
. . . . . .
Und ein unmündiges Kind wird auf den Plätzen dann richten:
Denn es herrschet viel Krieg, und Schlachten und Männerermordung,
Hunger und Pest, Erdbeben zumal, und gewaltige Blitze.
Und in der sämmtlichen Welt viele Strassen Assyrischer Völker;
Und Wegführen der Beute und ein Ausplündern der Tempel.
Und es werden alsdann aufstehn die betriebsamen Perser,
Inder, Armenier und zugleich auch die Araber; dazu
Wird den Römern sich nahn ein König, an Krieg unersättlich,
Werfer des Speers, der Assur bedrängt, und welcher ein neuer
Ares, der bis an den tiefen und Silber führenden Euphrat
Sich ausdehnt, [Verderben aussendend] ein kriegrischer Ares.
. . . . . denn von seinem Freunde verrathen
Sinkt er dahin in der Reihe, vom funkelnden Eisen getroffen.
Bald aber herrschet darauf ein Purpur liebender Krieger,
Welcher aus Syrien kömmt, ein Schrecken des Kriegs; und im Sohne
Wird er die sämmtliche Welt für den Kaiser zustimmend erhalten.

Ἐκπέλετ᾽ ἀμφοτέροισιν ἐπὶ πρώτου κεἰκοστοῦ
Πένθ᾽ ἑκατοντάδες εἰσὶ τεθειμέναι. Ἡνίκα δ᾽ οὗτοι
Ἐν πολέμοις ἄρξουσι, θεμιστόνομοι δὲ γένωνται,
Ἀνάπαυσις πολέμου βαιὸν ἔσσεται οὐκ ἐπὶ δηρόν·
Ἀλλ᾽ ὁπόταν ποίμνῃ λύκος ὅρκια πιστώσηται
Πρὸς κύνας ἀργειοδόντας, ἔπειτα δὲ δηλήσεται
Βλάψας εἰροπόκους, οἷς περὶ δ᾽ ὅρκια ῥίψει.
Καὶ τότε δῆρις ἀθέσμων ὑπερφιάλων βασιλήων
Ἔσσεται ἐν πολέμοισι, Σύροι δ᾽ ἔκπαγλ᾽ ἀπολοῦνται,
Ἰνδοί τ᾽, Ἀρμένιοί τ᾽, Ἄραβες, Πέρσαι, Βαβυλῶνες
Ἀλλήλους ὀλέσουσι διὰ κρατερὰς ὑσμίνας.
Ἀλλ᾽ ὁπόταν Ῥωμαῖος ἄρῃς Γερμανὸν ὀλέσσῃ,
Ἄρεα νικήσας θυμοφθόρον ὠκεανοῖο,
Δὴ τότε καὶ Πέρσῃσιν ὑπερφιάλοις ἀνθρώποις
Πολυετὴς πόλεμος, νίκη δ᾽ οὐκ ἔσσεται αὐτοῖς·
Ὡς γὰρ ἐφ᾽ ὑψηλῆς, πολυδείραδος, ἠνεμοέσσης,
Ἠλιβάτου πέτρης ἰχθὺς οὐ νήχεται ἐπ᾽ ἄκρης,
Οὐδὲ χέλυς πέταται, αἰετὸς δ᾽ οὐ νήχετ᾽ ἐς ὕδωρ,
Οὕτω καὶ Πέρσαι μακρόθεν νίκης γεγαῶσιν
Ἥματι τῷ, ἐφ᾽ ὅσον τε φίλη τρόφος Ἰταλιήων
Κειμένη ἐν πεδίῳ Νείλου παρὰ θέσφατον ὕδωρ,
Ἑπταλόφῳ Ῥώμῃ μοίρην ἀπόμοιραν ἰάλλοι.
Ταῦτα δέ τε πέταται· ὅσσον δέ τοι οὔνομα Ῥώμη
Εἰν ἀριθμοῖς ἔσχεν ψηφιζομένοιο χρόνοιο,
Τοσούτους λυκάβαντας ἑκοῦσά τε σιτομετρήσει,
Δία πόλις μεγάλη Μακηδονίοιο ἄνακτος.
Ἄλλο ἄλλος πολύμοχθον Ἀλεξανδρεῦσιν ἀείσω,
Ὀλλυμένοις διὰ δῆριν ἀεικελίων ἀνθρώπων.
Ἄρσενες οἱ πρότερον δεινοὶ [καὶ] ἀνάλκιδες ὄντες
Εἰρήνην στέρξουσι δι᾽ ἡγεμόνων κακότητα.
Καὶ χόλος Ἀσσυρίους ἕξει μεγάλοιο Θεοῖο,
Αὐτούς τ᾽ ἐξολέσει, ποταμοῖο χείμαῤῥος ὡς ἐλθὼν,
Καίσαρος [ἐμπτολίεθρα σαταναίους] ἀδικήσει.
Πύραμος ἀρδεύσει Μόψου πόλιν, ἔνθα πεσοῦνται
Ἅγιοι διὰ δῆριν ὑπερμενέων ἀνθρώπων.
Τλῆμον Ἀντιόχεια, σὲ δ᾽ οὐ λείψει βαρὺς ἄρης,
Ἀσσυρίου πολέμοιο ἐπειγομένου περὶ σεῖο·
Σοῖς γὰρ ἐνὶ μελάθροισι κατοικήσει πρόμος ἄνδρων,
Ὃς Πέρσας μὲν ἅπαντας οἰστροβόλους πολεμήσει,
Αὐτὸς ὁ Ῥωμαίων γεγαὼς βασιληΐδος ἀρχῆς.
Νῦν κοσμεῖσθε πόλεις Ἀράβων ναοῖς τε [δίοισιν],

Beiden der Name entsteht wenn man zu zwanzig und Einem
Fünf mal hundert noch fügt. Jedoch wann diese durch Kriege
Sich die Herrschaft erlangt und Gesetzgeber auch sind geworden:
Dann wird der Krieg eine Zeit lang ruhn, aber nicht auf die Dauer;
Sondern wenn dann des Wolfs Eidschwüren die Heerde vertraut hat
Gegen das weisse Gebiss der Hunde, dann wird er zerreissend
Schaden dem wolligen Vieh und ihnen die Schwüre nicht halten.
Und alsdann wird entstehen ein Kampf der übergewalt'gen
Könige ohne Gesetz im Krieg, und schrecklich vernichtet
Werden die Syrer; die Indier, Armenier, Perser, Araber
Und Babylonier vernichten einander in heftigen Schlachten.
Aber wenn dann der Römische Mars die Germanen vernichtet,
Und den verderblichen Krieg siegreich auf dem Meere geführt hat;
Dann wird den Persern entstehn, den übermüthigen Menschen,
Ein vieljähriger Krieg; doch nicht wird ihnen der Sieg sein:
Denn wie zum hohen Gestein, dem vielrückigen, Winde umtosten,
Jäh abschiessenden, nicht der Fisch hinschwimmt auf die Spitze,
Noch die Schildkröte fliegt, und der Adler nicht schwimmet im Wasser:
So werden auch die Perser entfernt vom Siege gehalten
Jenes Tags, und so lang der Italer liebe Ernährung
Liegt in der Ebne des Nils, in der Nähe des göttlichen Wassers,
Und einen Antheil erhält die siebenhügliche Roma.
Dieses aber entfliegt. Soweit jedoch Rom seinen Namen
Unter den Zahlen der Zeit, die man rechnet, für sich besessen,
Soviel Jahre wird auch freiwillig Getreide zumessen
Des Macedonischen Herrschers Stadt, die vortreffliche, grosse.
Mühvolles Anderes will ich singen den Alexandrinern,
Welche einst gehen zu Grund im Kampfe mit schmählichen Menschen.
Männer gewaltig ehmals sind nunmehr kraftlos geworden,
Und friedliebend durch die Verruchtheit ihrer Gebieter.
Gottes des Mächtigen Zorn wird auch die Assyrier treffen,
Und wird sie richten zu Grund, wann er anlangt gleich einem Waldstrom.
Und in des Kaisers Stadt wird er schmählich die Spötter behandeln.
Pyramus wird Mopsveste bewässern; dort werden die Aigier
Durch die gefährliche List der gewaltsamen Menschen hinsinken.
Dich Antiochien wird, o armes, der drückende Ares
Nicht verlassen, da dich ein Assyrischer Krieg wird bedrängen:
Denn in deinem Pallast wird wohnen der Erste der Kämpfer,
Der die Perser gesammt, die Werfer der Speere, bekrieget,
Er der die Herrschaft erlangt des Königreiches der Römer.
Schmücket euch nun, ihr Städte Arabiens mit herrlichen Tempeln,

Ἠδ' ἀγοραῖς, πλατείαις τε, καὶ ἀγλαοφεγγέϊ πλούτῳ,
Καὶ ξοάνοις, χρυσῷ τε, καὶ ἀργύρῳ, ἠδ' ἐλέφαντι.
Ἐκ πάντων δὲ μάλιστα μαθηματικὴ περ ἐοῦσα
Βόστρα Φιλιππόπολι, ἵν' ἔλθῃς εἰς μέγα πένθος·
Οὐ γάρ σ' ὀνήσει σφαιρώματα καγχαλόωντα
Ζωδιακοῦ κύκλου, κριὸς, ταῦρος, δίδυμοί τε,
Ἠδ' ὁπόσοι σὺν τοῖσιν ἐν οὐρανῷ ἰνδάλλονται
Ἀστέρες ὡρονόμοι· τλῆμον πολλοῖσι πέποιθας,
Ὁππότ' ἀνὴρ ἄρ' ἐκεῖνο τὸ σὸν μετόπισθεν παλάσσῃ.
Νῦν δὲ φιλοπτολέμοισιν Ἀλεξανδρεῦσιν ἀείσω
Δεινοτάτους πολέμους· πουλὺς δ' ἄρα λαὸς ὀλεῖται
Ἀστῶν ὀλλυμένων, ὑπ' ἀντιπάλων τε πόληων
Μαρναμένων στυγερῆς ἕδους χάριν, ἀμφὶ δὲ τούτοις
Ἀΐξας φοβερωπὸς ἄρης στήσει πολέμοιο.
Καὶ τότε δ' αὖ μεγάθυμος ἑῷ σὺν παιδὶ κραταιῷ
Καππέσεται δολίως διὰ πρεσβύτερον [βασιλῆα].
Τὸν μετὰ [δ' αὖτ'] ἄρξει κρατερᾶς Ῥώμης ἐριθήλου
Ἄλλος ἄναξ μεγάθυμος ἐπιστάμενος πολεμίζειν,
Δακῶν ἐξαναδὺς, τριακοσίων ἀριθμοῖο
Ἔσσεται, ἐκ τετράδος γενεῆς· πολλοὺς δ' ἀπολέσσει,
Καὶ τότε μάλα πάντας ἀδελφειούς τε φίλους τε
Ἐξολέσει βασιλεὺς, καὶ ἀποφθιμένων βασιλήων,
Αὐτίκα δ' αὖ πίπτων τε, λεηλασίη τε, φόνοι τε,
Ἔσσονταί τ' ἐξαπίνης γε διὰ πρότερον βασιλῆα.
Ἐν δ' ὁπόταν δολιόμητις ἀνὴρ ἐπὶ κλίνης ἔλθῃ,
Ληστὴς, ἐκ Συρίης προφανεὶς, Ῥωμαῖος ἄθηλος,
Καὶ πελάσει δολίως ἐκ Καππαδοκῶν γένος ἀνδρῶν,
Καὶ πολιορκήσας πέσεται πολέμου ἀκόρητος.
Δὴ τότε σου Τύαννα καὶ Μαζάκα ἔσσετ' ἄλωσις,
Λατρεύσεις τούτῳ δὲ [πολὺ ζύγον αὐχένι] θήσει.
Καὶ Συρίη κλαύσειεν ἀπολλυμένων ἀνθρώπων,
Οὐδὲ Σεληναίη τότε ῥύσεται ἱερὸν ἄστυ.
Ἡνίκ' ἂν ἐκ Συρίης φθάμενος [περὶ φύξιν] ἀσέλγην
Ῥωμαίους προφυγὼν, διὰ δ' Εὐφράταο ῥοάων,
Οὐκέτι Ῥωμαίοις ἐναλίγκιος, ἀλλ' ἀγέρωχος
Ἰοβόλοις Πέρσαις τότε κοίρανος Ἰταλίη χθών·
Καππέσεται παταξεῖ τυφθεὶς αἴθωνι σιδήρῳ,
Οὐ κόσμον ἐάσας· ἐπὶ δ' αὐτῷ παῖδες ὀλοῦνται.
Ἀλλ' ὁπόταν Γάλλος βασιλεὺς Ῥώμης βασιλεύσῃ,
Καὶ τότε Ῥωμαίοις ἀκατάστατα ἔθνεα ἔλθῃ,
Οὖλος ἄρης σὺν παιδὶ νόθῳ ἐπὶ τείχεα Ῥώμης·

Und mit Plätzen und Strassen und mit schön glänzendem Reichthum,
Mit Schnitzwerken und Gold, mit Elfenbein und auch mit Silber.
Aber von Allen zumeist, obgleich du Astrologie treibst,
Wirst du Bostra, du Stadt des Philippus, gelangen in grosses
Leid; denn es werden dir nichts die grinsenden, runden Gestalten
Des Thierkreises, der Stier, der Widder und Zwillinge nützen,
Und was immer mit diesen von Sternen am Himmel wird sichtbar,
Welche die Zeit bestimmen. Du armes hast Vielem vertrauet,
Wann jener Mann dein Eigenthum wird in der Folge besudeln.
Nun aber will ich weissagen Alexandriens kriegrischen Männern
Schreckliche Kriege; denn viel des Volkes wird gehen zu Grunde,
Wann die Städte hinsinken, und feindlich gegen einander
Städte in Streit wegen eines abscheulichen Tempels; an diese
Stürmet heran der schreckliche Mars und freuet am Krieg sich.
Und der Edle wird sammt seinem gewaltigen Sohne
Darauf sinken dahin durch die List eines alternden Königs.
Aber nachdem wiederum beherrscht das blühende, starke
Rom ein anderer Herr, der edel und kundig des Kriegs ist,
Aus der Dazier Volk und die Zahl von Dreissigen habend,
Aus einem vierten Geschlecht; und viele wird dieser vernichten
Dann, alle Brüder zumal und auch die sämmtlichen Freunde
Richtet der Herrscher zu Grund; und wann die Könige todt sind,
Fällt auch er alsbald wiederum; und Plündern und Morden
Tritt in Schnelle dann ein um des früheren Königes willen.
Aber wenn dann ein verschlagener Mann zum Lager gelangt ist,
Welcher aus Syrien kömmt, ein Räuber, den Römern bekannt nicht;
Dann wird auch nahen mit List ein Geschlecht Kappadozischer Männer,
Und eine Stadt belagernd fällt er vom Krieg nicht gesättigt.
Dann Tyana kömmt dir und Mazaka deine Erobrung;
Dienen wirst du ihm, und deinem Nacken legt er das Joch auf.
Weinen wird Syrien auch, wann ihm seine Männer zu Grund gehn,
Und Selene wird dann ihre heilige Stadt nicht erretten.
Wann aus Syrien schnell in einer muthwilligen Flucht er
Vor den Römern entflieht hin über den strömenden Euphrat;
Aehnlich ist dann den Römern nicht mehr, sondern ganz übermüthig
Gegen die tapferen Perser das herrschende Land von Italien.
Und er sinkt klirrend dahin, vom funkelnden Eisen getroffen,
Liess nicht in Ruhe die Welt; und bei ihm fallen die Söhne.
Aber wenn dann ein Gallischer König die Römer beherrschet,
Dann werden auch zu den Römern unruhige Völker gelangen,
Zu den Mauern von Rom der verderbliche Mars mit dem Bastard.

Καὶ τότε δὴ λιμοὶ, λοιμοὶ, μαλεροί τε κεραυνοὶ,
Καὶ πόλεμοι δεινοὶ, ἀκαταστασίαι τε πόληων
Ἔσσονται ἐξαπίνης, Σύροι δ' ἔκπαγλ' ἀπολοῦνται·
Ἥξει γὰρ τούτοις μέγας χόλος ὑψίστοιο.
Αὐτίκα δὴ Περσῶν ἐπανάστασις ἀμφιστήσει,
Ῥωμαίους δ' ὀλέσουσι Σύροι Πέρσῃσι μιγέντες·
Ἀλλ' οὐ νικήσουσι νόμους θεοκράτορι βουλῇ.
Αἳ ὁπόσοι φεύξονται ἀπ' ἀντολίης γεγαῶτες
Σὺν κτεάτεσσιν ἑοῖσιν ἐς ἀλλοθρόους ἀνθρώπους·
Αἳ ὁπόσων ἀνδρῶν πίεται χθὼν αἷμα κελαινόν·
Ἔσται γὰρ χρόνος οὗτος, ἐν ᾧ ποτε τοῖς τεθνεῶσιν
Οἱ ζῶντες μακαρισμὸν ἀπὸ στομάτων ἐνέποντες,
Φθέγξονται καλὸν τὸ θανεῖν, καὶ φεύξετ' ἀπ' αὐτῶν.
Ἄρτι δὲ σὲ, τλῆμον Συρίη, κατοδύρομαι οἰκτρῶς·
Ἥξει γὰρ πληγή σοι ἀμφιβόλων ἀνθρώπων
Δεινὴ, ἥν τοι οὔποτ' ἐπήλπισας ἥξουσάν σοι.
Ἥξει καὶ Ῥώμης ὁ φυγὰς, μέγα ἔγχος ἀείρας,
Εὐφράτην διαβὰς πολλαῖς ἅμα μυριάδεσσιν,
Ὅς σε καταφλέξει, καὶ πάντα κακῶς διαθήσει.
Τλῆμον Ἀντιόχεια, σὲ δ' ἐς πόλιν οὔποτ' ἐροῦσιν,
Ὁππόταν ἀφροσύνῃσι τεαῖς ὑπὸ δούρασι πίπτῃς·
Πάντα δὲ συλλήσας καὶ γυμνώσας σε προλήψει
Ἄστεγον, ἀοίκητον, ἄφνω δέ σε κλαύσεθ' ὁρῶν τις.
Καὶ σὺ Θρίαμβος ἔσῃ Ἱεράπολις, καὶ σὺ Βέροια,
Χαλκίδι συγκλαύσεται νεοτρώτοις ἐπὶ τέκνοις.
Αἳ αἳ ὁπόσοι ναίουσι Κάσιον ὄρος αἰπὺ,
Ἠδ' ὁπόσοι Ἄμανον, ὅσους δὲ καὶ Λύκος παρακλύζει,
Μαρσύας δὲ ὅσους καὶ Πύραμος ἀργυροδίνης·
Ἄχρι τε γὰρ Ἀσίης τεράτων θήσουσι λάφυρα,
Ἄστεα γυμνώσαντες, ὅλα εἴδωλ' ἀφελοῦνται,
Καὶ ναοὺς ῥίψουσιν ἐπὶ χθονὶ πολυβοτείρῃ.
Καί ποτε Γαλλίῃ καὶ Πανονίῃ μέγα πῆμα,
Μυσοῖς, Βιθυνοῖς θ', ὁπόταν ἥξει πολεμιστής.
Ὤ Λύκιοι, Λύκιοι, λύκος ἔρχεται αἷμα λιχμῆσαι.
Σάννοι ὅταν ἔλθωσιν σὺν ἄρῃϊ πολυπάρθῳ,
Καὶ Καρποὶ πελάσωσιν ἐπ' Αὐσονίοισι μάχεσθαι·
Καὶ τότε δὴ νόθος υἱὸς ἔῃ ὑπ' ἀναιδίῃ τόλμῃ
Ἐξολέσει βασιλῆα, παραυτίκα δ' αὐτὸς ὀλεῖται
Ἀυσσεβίης ἕνεκεν. Μετὰ δ' αὖτ' ἄρξει πάλιν ἄλλος,
Ἀρχὴν οὐνόματος φέρων· ταχὺ δ' αὖτε πεσεῖται
Ἄρῃ καὶ κρατερῷ βληθεὶς αἰθωνι σιδήρῳ.

Dann wird Hunger und Pest, dann werden gewaltige Blitze,
Auch erschrecklicher Krieg, und Aufruhr unter den Städten
Plötzlich brechen herein; und die Syrer gehn schrecklich zu Grunde:
Denn der gewaltige Zorn des Höchsten wird über sie kommen.
Und alsbald wird rings ein Aufstand der Perser entstehen,
Und mit den Persern vereint vernichten die Syrer die Römer:
Aber sie werden das Land nicht besiegen, nach göttlichem Rathschluss.
Wehe, wie werden entfliehn so viele der Männer vom Aufgang,
Sammt ihrer Habe und Gut zu Menschen von anderer Sprache!
Wehe, wie trinkt das dunkele Blut von so Vielen die Erde!
Denn es ist dieses die Zeit, wo die, welche ruhen im Grabe,
Aus der Lebenden Mund die Seligpreisung erhalten,
Wo man sich wünschet den Tod, und dieser vor ihnen entfliehet.
Nochmals aber will ich, armes Syrien, dich bitter beweinen:
Denn es wird dich ein schrecklicher Schlag von zweideutigen Menschen
Treffen, welchen du nicht gehofft hast, dass er dich träfe.
Auch wird kommen von Rom der Flüchtling, gehoben das mächt'ge
Schwerdt, der über den Euphrat kam mit viel Myriaden,
Welcher mit Feur dich verbrennt, und Alles gar übel zurichtet.
Armes Antiochien, dich nennt man fürder nicht Stadt mehr,
Wann du durch eigene Thorheit hinsinkst unter den Speeren;
Und von Allem beraubt und entblösst verlässt man dich plötzlich;
Ohne Obdach und Wohnung wird dich, wer dich siehet, beweinen.
Und eine Beute wirst du Hierapolis sein und Berõa;
Und über Chalcis man weint ob der frisch ermordeten Kinder.
Wehe, wie Viele bewohnen des Kasius steiles Gebirge,
Und wie viel den Amanus, wie viel auch bespület der Lykus,
Und wie viel der Marsyas und der Pyramus, führend das Silber!
Denn bis an Asiens Grenzen wird man schleppen die Beute,
Und wann die Städte geleert, wird man alle Götzen wegnehmen
Und hinstürtzen die Tempel auf der ergiebigen Erde.
Und auch Gallien trifft und Pannonien einst grosses Leiden,
Mysien und Bithynien auch, wann der Krieger heranzieht.
Lycier, Lycier ihr! der Wolf kömmt zu lecken das Blut auf.
Wann die Sanner heranziehn mit dem verheerenden Ares,
Und die Karper sich nahn, um gegen Ausonien zu streiten;
Dann wird auch der Bastard-Sohn durch eigenes freches
Wagniss den König vernichten; jedoch bald selber zu Grund gehn
Wegen der Gottlosigkeit. Und hernach herrscht wieder ein Andrer,
Tragend des Namens Beginn; doch bald wird er wieder hinsinken
Durch den gewaltigen Mars, und getroffen vom funkelnden Eisen.

Καὶ πάλιν κόσμος ἄκοσμος, ἀπολλυμένων ἀνθρώπων
Λοιμῷ καὶ πολέμῳ. Πέρσαι δ᾽ ἐπὶ μῶλον ἄρηος
Αὖθις ἐσορμήσουσι μεμνηότες Αὐσονίοισιν.
Καὶ τότε Ῥωμαίων φυγὴ ἔσσεται· αὐτὰρ ἔπειτα
Ἀρητὴρ ἥξει ὁ πανύστατος, ἡλιόπεμπτος,
Ἐκ Συρίης προφανεὶς, καὶ πάντα δόλῳ διαπάξει.
Καὶ τότε δ᾽ ἠελίου πόλις ἔσσεται· ἀμφὶ δ᾽ ἄρ᾽ αὐτῇ
Πᾶσαι Φοινίκων φοβερὰς τλήσονται ἀπειλάς.
Ἡνίκα δ᾽ αὖτ᾽ ἄρξουσι ὑπερμενέων Ῥωμαίων
Ἄνδρες ἀρηϊθοοι δύο κοίρανοι, ὃς μὲν ἐφέξει
Ἑβδομήκοντ᾽ ἀριθμὸν, ὁ δὲ τριτάτου ἀριθμοῖο·
Καὶ τότε δ᾽ ὑψαύχην ταῦρος σκάπτων ὀνύχεσσιν
Γαῖαν, καὶ κέρασι κόνιν δίσσοισιν ἐγείρων,
Ἐρπυστὴν κυανόχροον, καὶ δράσει κακὰ πολλὰ
Ὁλκὸν σύροντα φολιῇσιν· ἐπεὶ δ᾽ αὐτὸς ὀλεῖται,
Ἤκερως δ᾽ ἔλαφος, μετὰ τὸν δ᾽ ἥξει πάλιν ἄλλος,
Πεινάων, κατ᾽ ὄρη μεμαὼς ἐν γαστρὶ πάσασθαι
Ἰοβόλους θῆρας· τότ᾽ ἐλεύσεται ἡλιόπεμπτος,
Δεινὸς καὶ φοβερός τε λέων πνείων φλόγα πολλήν.
Δὴ τότ αὖτ᾽ ὀλέσει πολλῇ καὶ ἀναιδέϊ τολμῇ
Εὐκεράωτ᾽ ἔλαφόν τε θοὸν, καὶ θῆρα μέγιστον,
Ἰοβόλον, φοβερὸν, ἀφιέντα συρίγματα πολλὰ,
Τοξοβάτην τε τράγον, ἐπὶ δ᾽ αὐτῷ κῦδος ὀπηδεῖ·
Αὐτὸς δὴ ὁλόκληρος ἀλώβητος καὶ ἄπληστος
Ἄρξει Ῥωμαίων, Πέρσαι δ᾽ ἔσονται ἀλαπαδνοί.
Ἀλλ᾽ ἄναξ, βασιλεῦ κόσμου, Θεὲ, παῦσον ἀοιδὴν
Ἡμετέρων ἐπέων, δὸς δ᾽ ἱμέραν πᾶσιν ἀοιδήν.

Und es verödet die Welt wiederum, und die Menschen verschwinden
Durch den Hunger und Krieg. Und die Perser werden dann wieder
Zu den Mühsalen des Kriegs aufstehn, der Ausoner gedenkend.
Und dann werden zur Flucht die Römer sich wenden; doch nachher
Kömmt ein Helfer heran, ganz zuletzt, von der Sonne gesendet.
Und aus Syrien kömmt er, und Alles mit List er verheeret.
Dann wird auch die Sonnenstadt sein, und es werden rings um sie
Alle erschreckliche Drohung durch die Phönizier dulden.
Wenn aber dann wiederum über die hochmüthigen Römer
Herrschen der tapferen Könige zwei, von welchen der eine
Die Zahl siebenzig führt, und der zweite von ihnen die Dreizahl;
Dann wird auch der hochnackige Stier mit den Klauen die Erde
Hoch aufwühlen, den Staub mit seinen zwei Hörnern aufregend,
Und der dunkelen Schlange zahlreiches Uebel zufügen,
Die mit den Schuppen die Furche hinzieht. Und wann dieser zu Grund geht,
Und auch der Hirsch mit dem schönen Geweih; und nach ihm ein Andrer
Wiederum kömmt vom Gebirg voll Hungers und strebend zu sätt'gen
Sich am getroffenen Wild: Dann kömmt der Sonnengesandte
Furchtbar und schrecklich, ein Leu, der gewaltige Flammen ausschnaubet:
Und der vertilget darauf in vielem und schamlosem Wagniss
Den schönweihigen Hirsch, den geschwinden, und auch das gewalt'ge
Furchtbare, pfeilverwundete Thier, welches zieht viele Furchen,
Und den Schützen, den Bock, und wird vielen Ruhm sich bereiten.
Er aber wird unversehrt, unbeschädigt und übergewaltig
Ueber die Römer gebieten, und leicht die Perser bezwingen.
Aber, o Herr, Gott, König der Welt, lass unserer Worte
Sang ausruhen, und gieb erwünschte Gesänge auch Allen!

ΤΩΝ ΣΙΒΥΛΛΙΑΚΩΝ

ΧΡΗΣΜΩΝ

ΛΟΓΟΣ ΔΩΔΕΚΑΤΟΣ (ΤΕΣΣΑΡΑΚΑΙΔΕΚΑΤΟΣ).

Ἄνθρωποι, τί μάτην, ὡς ἀθάνατοί περ ἐόντες,
Καὶ βραχὺ κοιρανέοντες, ἄγαν ὑψηλὰ φρονεῖτε,
Καὶ βασιλεύειν πάντες ὑπὲρ θνητοὺς ἐθέλοντες,
Οὐχὶ νοοῦντες, ὅτι φιλοκοιρανίην Θεὸς αὐτὸς
Ἐχθαίρει, τὰ μάλιστα δ' ἀπληστοκόρους βασιλῆας,
Λύσσους, δυσσεβίας, σκότιον δ' ἐπὶ τοῖσιν ἐγείρει·
Οὕνεκεν ἀντ' ἀγαθῶν ἔργων δικαίων τε λογισμῶν
Φάρεα πορφύρεα χλαίνας προὐκρίνατε πάντες.
Τοὺς πολέμους ποθέοντας, ὀϊζύας τε, φόνους τε,
Ὠκυμόρους θήσει Θεὸς ἄφθιτος, αἰθέρι ναίων,
Τούτους ἐκπέρσας, καὶ ἐπ' ἄλλυδις ἄλλον ὀλέσσει.
Ἀλλ' ὁπόταν ταύρων ὀλετὴρ, ᾗ ἀλκὶ πεποιθὼς,
Ἤκομος, βλοσυρός [θ'] ἥξει, καὶ πάντας ὀλέσσει,
Καὶ νομέας θραύσει, βίη δ' οὐκ ἔσσεται αὐτοῖς,
Εἰ μὴ ἀρ' ὠκύτητι ποδῶν σκύλακες διὰ βήσσας
Εἰς ἔριν ἀντήσουσι διωκέμεναι μεμαῶτες.
Τὸν δὲ λέοντ' ἐδίωξε κύων ὀλέκοντα νομῆας.
Καὶ τότε ἔσσετ' ἄναξ τετρασύλλαβος, ἀλκὶ πεποιθὼς,
Ἐκ μονάδος προφανεὶς· ταχὺ δ' αὐτὸν χάλκεος ἄρης
Ἐξολέσει διὰ δῆριν ἀπληστοκόρων ἀνθρώπων.
Ἄρξουσι μετέπειτ' ἄλλοι δύο φῶτες ἄνακτες,
Ἄμφω τεσσαράκοντ' ἀριθμῶν· μεγάλη δ' ἐπὶ τούτοις
Ἔσσεται εἰρήνη κόσμοιο παντί τε δήμῳ,
Καὶ θέμις ἠδὲ δίκη· τοὺς δ' αὖ κορυθαίολοι ἄνδρες
Χρυσοῦ δευόμενοι καὶ ἀργύρου οὕνεκα τούτους
Δυσσεβέως κτείνουσιν, ἐνὶ παλάμῃσι λαβόντες.

SIBYLLINISCHE WEISSAGUNGEN.

ZWÖLFTES (VIERZEHNTES) BUCH.

Menschen! warum so vergeblich, als wenn ihr unsterbliche Wesen
Wäret, die ihr nur kurz regiert, warum sinnt ihr so Hohes,
Und wollt Alle regieren mehr als den Sterblichen ziemet?
Nimmer bedenkend, dass Gott selbst die, welche streben nach Herrschaft,
Hasset; vor Allem jedoch die Könige, die unersättlich,
Schlecht und gottlose sind, und Finsterniss gegen sie aufregt;
Weil statt trefflicher That und statt der gerechten Gesinnung
Obergewänder ihr liebt, ihr Alle, aus Zeugen von Purpur.
Und die nach Kriegen verlangt, und nach Zwistigkeit, und nach Ermordung,
Sie wird der ewige Gott bald tödten, der Himmelsbewohner
Wird sie richten zu Grund, und unter einander vernichten.
Aber wenn dann seiner Stärke vertrauend der Tödter der Stiere
Schönhaarig, furchtbar erscheint; dann wird er Alle vernichten,
Und die Hirten zerschmettern, denen nicht Stärke mehr inwohnt,
Wenn nicht die flüchtigen Hunde entgegen durch das Geklüfte
Stürmen zum Kampfe heran, heiss trachtend nach der Verfolgung.
Aber der Hund verfolgte den Leu, der die Hirten erwürgte.
Und viersylbig erscheint dann ein Herrscher, der Stärke vertrauend,
An der Einzahl erkennbar: doch schnell wird der eherne Ares
Ihn vernichten im Kampf mit den unersättlichen Menschen.
Drauf werden andere zwei gebietende Männer regieren,
Vierzig von beiden die Zahl ist; und unter diesen wird grosser
Friede beherrschen die Welt und ruhn auf jeglichem Volke;
Ebenso Rechtspruch und Recht. Aber sie werden Männer in Waffen,
Welche verlangen nach Gold, und des Silbers wegen erschlagen
Gottloser Weise, nachdem in die Hände sie ihnen gefallen.

Καὶ τότε δ᾽ ἐξάρξει δεινὸς νέος ἀγχιμαχητὴς,
Κοίρανος, ἑβδομήκοντ᾽ ἀριθμῶν, θυμοφθόρος αἴθων,
Ὃς λαὸν Ῥώμης ἀσεβῶς στρατιῇ παραδώσει
Κτεινόμενον κακότητι διὰ μῆνιν βασιλήων,
Πρηνίξας πᾶσάν τε πόλιν κλίνην τε Λατίνων.
Ῥώμη δ᾽ οὐκέτι ἔστιν, ἔτι οὐδ᾽ ἔστ᾽ ἀκοῦσαι,
Οἵαν περ πρώην εἶδεν τοίαν παροδίτης·
Πάντα γὰρ ἐν σποδίῃ τάδε κείσεται, οὐ κέ τις ἔργων
Ἔσται φειδωλή· ὅλος γὰρ ἐλεύσεται αὐτὸς,
Οὐρανόθεν πρηστῆρας ἀπ᾽ αἰθέρος ἠδὲ κεραυνοὺς
Ἀνθρώποις πέμψει Θεὸς ἄμβροτος, οὓς μὲν ὀλέσσει
Σκήπτων αἰθομένους, οὓς δ᾽ αὖ κρυεροῖσι κεραυνοῖς.
Καὶ τότε δὴ κτανέουσιν ἀναιδέα κοίρανον αἰνὸν
Νηπίαχοι Ῥώμης κρατερῆς Ῥώμης τε Λατῖνοι.
Οὔτι τεθνηότι κόνις περικείσετ᾽ ἐλαφρὴ,
Ἀλλὰ κυσὶ μέλπηθρα, καὶ οἰωνοῖς τε, λύκοις τε
Ἔσσεται, οὕνεκα δῆμον ἀρήϊον ἐξενάριξεν.
Τὸν μετὰ τεσσαράκοντ᾽ ἀριθμῶν ἄρξει κλυτὸς ἄλλος
Παρθολέτης, Γερμανολέτης, θῆρας καταλύσας
Δεινοὺς ἀνδροφόνους, οἳ ἐπ᾽ ὠκεανοῖο ῥοῇσιν
Ἠδὲ καὶ Εὐφράταο διηνεκέως ἐφέπουσιν.
Καὶ τότε δὴ πάλιν Ῥώμη ἔσσεται ὡς τὸ πρὶν ἦεν.
Αὐτὰρ ἐπεξέλθῃ [σε] μέγας λύκος ἐν δαπέδοις σοῖς,
Κοίρανος ἐκ δυσμῶν ἐπιβάς· μετέπειτα θανεῖται
Ἄρεϊ καὶ κρατερῷ δεδεγμένος ὀξέϊ χαλκῷ.
Καὶ τότε δ᾽ αὖτ᾽ ἄρξει καὶ ὑπερμενέων Ῥωμαίων
Ἄλλος ἄρης μεγάθυμος ἀπ᾽ Ἀσσυρίης ἀναδειχθείς,
Γράμματος ἀρχομένου, πολέμοισί τε πάνθ᾽ ὑποτάξει.
Αὐτὸς καὶ στρατιῇσιν ὁμοῦ ἀρχῆς ἐπιδείξει,
Καὶ θεσμοὺς θήσει· ταχὺ δ᾽ αὐτὸν χάλκεος ἄρης
Ἐξολέσει δολίοισι ἐνὶ στρατιῇσι πεσόντα.
Τὸν μετὰ τρεῖς ἄρξουσιν ὑπέρβιον ἦτορ ἔχοντες,
Ὃς μὲν ἔχων ἀριθμὸν μονάδος, δεκάδων δέ τε τρίσσων
Εἷς, ἕτερος δὴ ἄναξ τε τριηκοσίοις μεθέξει,
Σχέτλιον χρυσόν τε καὶ ἄργυρον ἐν πυρὶ πολλῷ
Χωνεύουσι ναῶν ἱδρύματα χειροποιήτων.
Καὶ στρατιαῖς δώσουσιν ὁπλιζόμενοι, περὶ νίκης
Χρήματα δασσόμενοι κειμήλια πολλὰ καὶ ἐσθλὰ,
Αἴσχεά τε μεμαῶτες· ἴσως διαδηλήσονται
Ἰοβόλους Πάρθους τε βαθυῤῥόου Εὐφράταο,
Καὶ Μήδους ἐχθρούς τε, καὶ ἁβροκόμους πολεμιστὰς,

Und es wird herrschen alsdann ein junger und schrecklicher Krieger,
Siebziger Zahl, ein Herr, welcher brennt von verderblichem Feuer,
Welcher ruchlos seinem Heer das Volk von Rom überliefert,
Das durch Schlechtigkeit fällt und durch der Könige Zürnen;
Und er zerstört eine jegliche Stadt und den Sitz der Lateiner.
Rom aber ist nicht mehr, und nicht ist fürder zu hören
Sie, die noch eben zuvor der Wanderer sah im Vorbeigehn:
Denn alles dieses wird liegen in Asche, und nicht wird verschonet
Irgend ein Werk. Denn der Herr wird selber vom Himmel hernieder
Kommen, und Sturm aus der Luft und Blitze zusenden den Menschen,
Er der unsterbliche Gott; und wird die Einen vernichten,
Stürtzend im Brande sie hin, die Andern durch furchtbare Blitze.
Und es werden alsdann den frechen und schrecklichen Fürsten
Tödten die Kinder von Rom, dem mächtigen, und die Lateiner.
Auf dem Gestorbenen selbst wird leicht nicht liegen die Erde;
Sondern ein Spiel für die Hunde und für die Raubvögel ist er,
Und für die Wölfe; dieweil das tapfere Volk er erwürgte.
Vierzig zählend wird nach ihm ein anderer ruhmreicher Herr sein,
Der die Germanen und Parther besiegt, die schrecklichen Thiere
Tödtet, die Männerermorder, die auf des Oceans Strömen
Und auf dem Euphrate im unablässigen Andrange kommen.
Und dann wird wiederum Rom sein wie vordem es gewesen.
Aber dir folget darauf ein gewaltiger Wolf in dem Lande,
Welcher als Herrscher vom Occident kömmt. Und nachher wird er sterben,
Durch den gewaltigen Mars und das spitzige Eisen getödtet.
Und dann wird wiederum über die übermächtigen Römer
Herrschen ein anderer Held, hochherzig, aus Assur berufen,
Welcher den ersten der Buchstaben führt, und der Alles im Kriege
Sich unterwirft. Auch wird mit dem Heer er kräftig regieren,
Und Gesetze auch geben. Doch schnell wird der eherne Ares
Raffen hinweg ihn durch List, hinsinkend im eigenen Heere.
Und nach ihm werden drei übermüthigen Geistes regieren;
Einer davon die Einzahl besitzt, drei Dekaden der Andre,
Und der andere Herr wird Theil an dreissigen haben.
Die werden Massen von Gold und Silber in mächtigen Gluthen
Schmelzen, die Statuen der von Händen gefertigten Tempel;
Und ihrem Heer werden sie, die Gewaffneten, wegen des Sieges
Schätze verleihen und viele herrliche Güter austheilen,
Führend das Schlechte im Sinn. Auch werden sie bringen zu Schaden
Die Pfeilschiessenden Parther an dem tiefffluthenden Euphrat,
Und die feindlichen Meder, und die Krieger mit üppigem Haarwuchs,

Μασαγέτας, Πέρσας τε, φαρετροφόρους ἀνθρώπους.
Ἀλλ' ὁπόταν βασιλεὺς ἰδίῃ μοίρῃ καταλύσει,
Λείψας ὁπλοτέροις σκῆπτρον βασιλήϊον υἱοῖς,
Καὶ θέμιν [ἀντιβολῶν]· οἱ δ' αὐτίκα πατρὸς ἐφετμῶν
Λησάμενοι, καὶ χεῖρας ἐφοπλίσαντες ἄρηϊ,
Εἰς ἔριν ὁρμήσουσιν ὑπὲρ βασιληΐδος ἀρχῆς.
Καὶ τότε μοῦνος ἄναξ ἀπὸ τριτάτων [πολὺ ἄλλος]
Ἄρξει, καὶ ταχὺ μοῖραν ἐπόψεται δουρὶ βοληθείς.
Τὸν μετὰ πολλοὶ ἕπειτα ἐπ' ἀλλήλοισιν ὀλοῦνται
Ἰφθιμοι μέροπές τε ὑπὲρ βασιληΐδος ἀρχῆς.
Εἷς δ' ἄρξει μεγάθυμος ὑπερμενέων Ῥωμαίων,
Πρέσβυς ἄναξ τετράδος, καὶ πάντα καλῶς διαθήσει.
Καὶ τότε Φοινίκῃ πόλεμος καὶ δῆρις ἐσεῖται,
Ἡνίκ' ἂν ἰοβόλων ἔλθῃ πέλας ἔθνεα Περσῶν,
Καὶ πόσα προσπέσεται ὑπό τ' ἀνδρῶν βαρβαροφώνων.
Σιδὼν καὶ Τρίπολις, Βηρυτός τ' ἡ μεγάλαυχος
Ἀλλήλας ὄψονται ἐν αἵματι καὶ νεκύεσσι.
Τλῆμον Λαοδίκεια, σὺ δ' ἀμφ' αὐτῇ μέγαν αἰρῃ
Ἄπρηκτον πόλεμόν διὰ δυσσεβείας ἀνθρώπων.
Αἳ μέλεοι Τύριοι δὲ κακὸν θέρος ἀμήσασθε,
Ὁππόταν ἠέλιος φαεσίμβροτος ἅματι λείψῃ,
Λίσκος δ' οὐ φαίνῃ, ψεκάδες δ' ἥξουσ' ἐπὶ γαῖαν
Πυκναὶ, καὶ θαμέαι ἐξ οὐρανοῦ αἱματόεσσαι.
Καὶ τότε δὴ θάνεται βασιλεὺς προδοθεὶς ὑφ' ἑταίρων.
Πολλοὶ δ' αὖ μετὰ τοῦτον ἀναιδέες ἡγεμονῆες
Ἀλλήλους κτενέουσι κακὴν ἔριδα προφέροντες.
Καὶ τότε δ' αὖ ἔσται γεραρὸς πολύμητις ἀνάκτωρ,
Οὔνομα πέντ' ἀριθμῶν, μεγάλαις στρατιῇσι πεποιθώς,
Ὃν μέροπες στέρξουσι χάριν βασιληΐδος ἀρχῆς,
Τοὔνομα δ' ἐσθλὸν ἔχων, ἐσθλοῖς ἔργοις προϊάψει.
Σῆμα δέ τοι ἔσται μέγα τοῦ κρατέοντος ἄνακτος
Μεσσηγὺς Ταυροῦ τε νιφηβλήτοιό τ' Ἀμάνου.
Ἐκ Κιλίκων γαίης νέα τις πόλις ἐξαπολεῖται
Καλή τε βριάρη τε βαρυσθενέος ποταμοῖο.
Πολλοὶ δ' αὖ σεισμοί τε Προποντίδι καὶ Φρυγίεσσι
Ἔσσονται. Βασιλεὺς κλειτός τ' ἰδίης ὑπὸ μοίρης
Τηλεδανῷ θανάτοιο νόσῳ, ψυχὴν δ' ἀπολεύσει.
Ἄρξουσι μετὰ τόνδε δύο βασιλῆες ἄνακτες,
Ὃς μὲν τριηκοσίων ἀριθμὸν προφέρων, ὁ δὲ τρισσῶν·
Τοὔνεκα καὶ πολλοὺς ὑπὲρ ἄστεος ἐξολοθρεύσει
Ῥώμης ἑπταλόφου δὲ διὰ κρατερὴν βασιλείαν.

Die Massageten, und auch die Köcherführenden Perser.
Aber wenn dann nach eigenem Loos der König gestorben,
Und das Scepter des Reichs hinterlässt den tapferen Söhnen,
Und das Gesetz umstösst; dann werden vergessen des Vaters
Mahnungen bald sie und sich die Hand zum Kriege bewaffnen,
Und in den Kampf rasch stürtzen hinein für die Herrschaft des Reiches.
Und ein Herrscher allein wird dann, von den dreien bedeutend verschieden,
Herrschen; doch bald wird er sehen den Tod, vom Speere getroffen.
Nach ihm werden darauf zu Grund gehn unter einander
Viele und treffliche Menschen, der Könige Herrschaft erstrebend.
Aber ein trefflicher Mann wird die mächtigen Römer regieren,
Ein schon ältlicher Herr, von der Vierzahl, und Alles wohl ordnen.
Und Phönizien wird ein Krieg dann und Hader entstehen,
Wann in die Nähe das Volk der streitbaren Perser gekommen.
Und wie viel wird unter fremdredenden Männern hinsinken.
Sidon und Tripolis, und auch das stolze Berytus
Werden einander erblicken mit Blut und mit Leichen bedecket.
Armes Laodicea, du wirst ringsum einen grossen
Und vergeblichen Krieg durch die Bosheit der Menschen erhalten.
Tyrer, unglückliche, weh! eine übele Erndte ihr sammelt,
Wann am Tage erlischt die den Sterblichen leuchtende Sonne,
Wann sich die Scheibe nicht zeigt, und blutige Tropfen zur Erde
Fallen vom Himmel herab ganz dicht und in reichlicher Menge.
Und der König wird dann durch Verrath der Genossen erbleichen.
Aber nach ihm wiederum werden viele unbändige Herrscher
Kommen zum übelen Streit, und unter einander sich tödten.
Und dann wird wiederum ein alter, verständiger Herr sein,
Nach der Fünfzahl genannt, und bauend auf mächtige Heere:
Den werden ob der Königsgewalt lieb haben die Menschen,
Und zum herrlichen Namen wird treffliche Werke er fügen.
Aber ein grosses Vorzeichen wird sein von des Herrschers Regierung
Zwischen dem Taurus und dem vom Schnee umhüllten Amanus:
Aus der Cilicier Land eine Stadt, eine neue, zu Grund geht,
Eine gar schöne, befestigte Stadt an dem reissenden Strome.
Auch viel Erdbeben wird in Propontis dann und bei den Phrygern
Sein; und nach dem Geschick wird alsdann der ruhmreiche König
Durch langwierige Krankheit des Todes das Leben verlassen.
Aber nach ihm werden zwei als regierende Könige herrschen;
Einer die Zahl dreihunderte führt, und der Andre die Dreizahl.
Viele wird er darum jenseits der Stadt auch vernichten.
Des siebenhügligen Roms, um sich in der Herrschaft zu halten.

Καὶ τότε συγκλήτῳ κακὸν ἔσσεται οὐδὲ φυγεῖται,
Χωομένου βασιλῆος ἐπ᾽ αὐτῇ θύμον ἔχοντος.
Σῆμ᾽ ἔσται ἄρα πᾶσιν ἐπιχθονίοις ἀνθρώποις,
Πλειότεροί θ᾽ ὑετοὶ, νιφάδες ἔσονται, χάλαζα
Ἐξολέσει ληΐων καρποὺς ἐπ᾽ ἀπείρονα γαῖαν.
Αὐτοὶ δ᾽ αὖτε πεσοῦνται ἐνὶ πτολέμοισι δαμέντες
Ἄρηϊ κρατερῷ πολέμου χάριν Ἰταλιήων.
Καὶ τότε δ᾽ αὖτ᾽ ἄρξει βασιλεὺς πολυμήχανος ἄλλος,
Συλλέξας πᾶσαν στρατιὴν, καὶ χρήματα νείμας
Χαλκεοθώρηξιν πολέμου χάριν· αὐτὰρ ἔπειτα
Νεῖλος ὑπὲρ Λιβύης πουλύσταχυς ἠπείροιο
Ἀρδεύσει δύ᾽ ἔτη τὸ μέλαν πέδον Αἰγύπτοιο
Χώρην τ᾽ ἀρσίμην· λιμὸς δὲ τὰ πάντα καθέξει,
Καὶ πόλεμος, λῃσταί τε, φόνοι τ᾽, ἀνδροκτασίαι τε.
Πολλαὶ δ᾽ αὖτε πόλεις ὑπὸ ἀνθρώπων πολεμιστῶν
Πρηνισμοὶ ἀπολοῦνται ὑπὸ στρατιῆς παλαμάων·
Αὐτὸς δ᾽ αὖ πέσεται προδοθεὶς αἴθωνι σιδήρῳ.
Τὸν μετὰ τριηκοσίων ἀριθμῶν οἷς ἔλλαχεν ἄρχειν
Ῥωμαίων ἄρξει καὶ ὑπερμενέων ἀνθρώπων·
Ἐκτανύσει λόγχην θυμοφθόρον Ἀρμενίοισι,
Πάρθοις, Ἀσσυρίοισι, μενεπτολέμοις δέ τε Πέρσαις.
Καὶ τότε δ᾽ αὖ Ῥώμης κτίσις ἔσσεται ἀγλαοτεύκτου
Χρυσῷ, ἠλέκτρῳ τε, καὶ ἀργύρῳ, ἠδ᾽ ἐλέφαντι,
Κόσμῳ ἐπαιρομένη, πουλὺς δέ τε λαὸς ἐν αὐτῇ
Ἀντολίης πάσης ἠδ᾽ ἑσπερίης πολυόλβου
Οἰκήσει· βασιλεύς τε νόμους ἑτέρους ἐπὶ ταύτῃ
Θήσει· τὸν μετὰ δ᾽ αὖτις ἀπειρεσίῃ ἐνὶ νήσῳ
Λέξεται οὐλόμενος θάνατος καὶ μοῖρα κραταιή.
Ἄρξει δ᾽ ἄλλος ἀνὴρ τριάδων δέκα, θηρὶ ἐοικὼς,
Ἐν χαίτῃ, βλοσυρωπὸς, ἀφ᾽ Ἑλλήνων γενέσηται.
Καὶ τότε δὴ Φθίης πουλυτρόφου ἄστυ Μολοσσῶν,
Καὶ Λάρισσα κλυτὴ καὶ ἐπ᾽ ὀφρύσι Πηνιοῖο,
Καὶ τότε ἱπποδότου Σκυθίης ἐπανάστασις ἔσται.
Καὶ πόλεμος δεινὸς Μαιώτιδος ὕδασι λίμνης
Ἔσται ἐπὶ προχοῇσι παρ᾽ ὑστάτιον πόμα πηγῆς
Φάσιδος ὑγροκόμοιο κατ᾽ ἀσφοδελὸν λειμῶνα·
Πολλοὶ δὴ πεσσοῦνται ὑπὸ κρατερῶν πολεμιστῶν.
Αἳ μαλεροῦ χάλκοιο πόσους παραλήψεται ἄρης.
Καὶ τότε δὴ βασιλεὺς Σκυθικὸν γένος ἐξαλαπάξει,
Θνήξεται εἰν ἰδίῃ μοίρῃ βίοτον ἀναλύσας.
Ἄλλος δ᾽ αὖτ᾽ ἄρξει τετράδος μετέπειτ᾽ ἀναδειχθεὶς,

Dann steht auch dem Senat ein Uebel bevor, nicht entrinnt er,
Wann der König erzürnt ist, und gegen ihn Groll hegt im Herzen.
Auch ein Zeichen wird sein den sämmtlichen Menschen auf Erden:
Häufiger Regenguss kömmt, und Schneegestöber; und Hagel
Richtet die Früchte der Felder zu Grund in des Erdkreises Weite.
Dann aber werden auch sie hinsinken in Kriegen, bewältigt
Durch den gewaltigen Mars ob des Kriegs mit den Italienern.
Und dann wird wiederum ein andrer verschlagener König
Herrschen, der sammelt das sämmtliche Heer und wird Schätze austheilen
An die Gewaffneten wegen des Kriegs; doch aber wird später
Jenseits des Libyschen Festlands der Aehrenerzeugende Nilstrom
Netzen zwei Jahre hindurch die schwarzen Gefilde Aegyptens
Und das fruchtbare Land; und Hunger wird Alles erfassen,
Krieg auch, und Räuber, und Mord, und Niedergemetzel der Männer.
Und viele Städte nachher werden durch der Krieger Zerstörung
Jählings gehen zu Grund, den Händen des Heeres erliegend.
Aber auch er sinkt hin durch Verrath, durchs funkelnde Eisen.
Nach ihm wird, mit der Zahl dreihundert, welcher die Herrschaft
Ueber die Römer erhielt, die gewaltigen Menschen regieren.
Und der streckt nach Armenien aus die tödtliche Lanze,
Gegen die Parther, Assyrier und die kriegrischen Perser.
Und dann wird wiederum Rom prächtig gebauet dastehen,
Schimmernd von Gold, Bernstein, von Elfenbein auch und von Silber
Prachtvoll ragen hervor; und darin werden zahlreiche Völker
Ueberall her vom Sonnen-Aufgang und vom glücklichen Westland
Wohnen; auch wird der König alsdann ihm andre Gesetze
Geben. Jedoch wird ihn dann auf einer sehr grossen Insel
Der verderbliche Tod und das schwere Verhängniss erfassen.
Aber ein anderer Mann mit der dreissiger Zahl wird regieren,
Gleich einem Thier, mit fliegendem Haar und furchtbarem Blicke,
Griechischer Spross. Und die Stadt der Molosser, das fruchtbare Phthia,
Und Larissa wird dann, das berühmte, am Strande des Peneus,
Sich erheben und Scythien auch, das an Rossen so reich ist.
Und ein schrecklicher Krieg wird an dem Mäotischen See sein,
Da wo der See sich ergiesst, am äussersten Rande der Quelle
Vom tiefen Phasis am See, welchen die Asphodelos schmücken.
Viele nun werden dahin durch gewaltige Kriegsleute sinken.
Wehe, wie viel wird der Krieg mit funkelndem Schwerdte hinraffen!
Und ein König wird dann den Scythischen Volksstamm ausplündern;
Und durchs Verhängniss wird er das Leben verlassen und sterben.
Aber ein Anderer wird, ein Gewählter, nachher mit der Vierzahl,

Δεινὸς ἀνὴρ, ὃν πάντες ὅσοι πίνουσι πάνιστον
Ἀρμένιοι κρύσταλλον ἄγαν ῥείοντος Ἀράξεω,
Λείσουσι πολέμοις, αὐτὰρ Πέρσαι μεγάθυμοι.
Μεσσηγὺς Κόλχων τε πολυσθενέων τε Πελασγῶν
Ἔσσονται πόλεμοι δεινοὶ ἀνδροκτασίαι τε.
Καὶ Φρυγίη γαίη τε Προποντίδος ἄστεα γαίης,
Φάσγανά τ' ἐκ κολεῶν ἀμφήκεα γυμνώσαντες,
Ἀλλήλους κόψουσι διὰ δυσσεβείας ἀλγεινάς.
Καὶ τότε δὴ μέγα σῆμα Θεὸς μερόπεσσι βροτοῖσιν
Οὐρανόθεν δείξει περιτελλομένοις ἐνιαυτοῖς,
Φάλκην ἐσσομένην δὲ τέρας πολέμοιο κακοῖο.
Καὶ τότε δὴ βασιλεὺς στρατιῆς οὐ φεύξεται χεῖρας,
Ὃν καὶ τεθνηῶτα νέην διαδηλήσονται,
Ἀλλὰ θανεῖθ' ὑπὸ χειρὶ ταμεὶς αἰθωνι σιδήρῳ.
Τὸν μετὰ πεντήκοντ' ἀριθμῶν ἄρξει πάλιν ἄλλος
Ἐξ Ἀσίης προφανεὶς, δεινὸς φόβος, ἀντιμαχητής·
Καὶ θήσει πόλεμον καὶ ἐπ' ἄγλαα τείχεα Ῥώμης,
Κόλχοις θ', Ἡνιόχοις τε, γαλακτοπόταις Ἀγαθύρσοις,
Εὐξείνῳ πόντῳ Θρῄκης ψαμμιώδεϊ κόλπῳ.
Καὶ τότε δὴ βασιλῆος ὀλωλότος ἔσσετ' ἐρήμη
Ῥώμη κυδιάνειρα, πολὺς δέ τε λαὸς ὀλεῖται.
Καὶ τότε δ' αὖτ' ἄρξει ἀπ' Αἰγύπτοιο μεγίστης
Δεινὸς καὶ φοβερὸς, Πάρθους δ' ὀλέσει μεγαθύμους,
Μήδους, Γερμανούς τε, βοοσπορίδας τ' Ἀγαθύρσους,
Βρεττανοὺς, Περνούς τε, φαρετροφόρους τε Ἴβηρας,
Μασαγέτας σκολιοὺς, Πέρσας δ' ὑπερηνορέοντας.
Καὶ τότε Ἑλλάδα πᾶσαν ἐσόψεται ἀγλαὸς ἀνὴρ,
Ἐχθαίρων Σκυθίῃ καὶ Καυκάσῳ ἠνεμόεντι.
Σῆμα δέ τοι ἔσται κρατερὸν τούτου κρατέοντος·
Οὐρανόθεν στεφάνοιο μεσημβρίης τε καὶ ἄρκτου
Ἀστράσι φαινομένοις πανομοίου ἀντείλαντος.
Καὶ τότε παιδὶ ἑῷ λείψει βασιλήϊον ἀρχὴν,
Στοιχείου ἀρχομένου· γὰρ ἐπεὶ ἰδίῃ ἐνὶ μοίρῃ
Βήσεται εἰν ἀΐδαο δόμοις βασιλεὺς ἀγαπήνωρ.
Ἀλλ' ὁπόταν ἄχρι τούτου παῖς ἐν χθονὶ Ῥώμης,
Ἐκ μονάδος προφανεὶς, ἔσται κατὰ γαῖαν ἅπασαν
Εἰρήνη μεγάλη πολυήρατος, ὅν τε Λατῖνοι
Στέρξουσι βασιλεῖς καὶ ἑοῦ πατρὸς εἵνεκα τιμῆς·
Ὃν σπεύδοντα μολεῖν καὶ ἐπ' ἀντολίην δύσιν τε
Ῥωμαῖοι σχήσουσι καὶ οὐκ ἐθέλοντα πρὸς οἴκους,
Ῥώμης κοιρανέοντ', ὅτι δὴ φίλος ἔπλετο πᾶσιν

Herrschen, ein schrecklicher Mann, den Alle, wie viele Armenier
Trinken das eisige Wasser des reissenden Stromes Araxes,
Fürchten im Kriege, gleichfalls auch die edelen Perser. Und mitten
Zwischen den Kolchiern und den Pelasgern, an Kraft ausgezeichnet,
Werden schreckliche Kriege und Morden der Männer entstehen.
Und das Phrygische Land und die Städte der Landschaft Propontis
Ziehn aus der Scheide heraus die Schwerdter mit doppelter Schneide,
Und in schmerzlicher Ruchlosigkeit morden sie sich einander.
Dann wird den Sterblichen auch ein grosses Vorzeichen geben
Gott vom Himmel herab in den sich kreisenden Jahren:
Eine Sichel erscheint, ein Zeichen des schrecklichen Krieges.
Und der König wird dann nicht entfliehen den Händen des Heeres.
(Den sie getödtet bereits, aufs Neue noch werden verstümmeln.)
Aber er fällt durch sie, durchbohrt vom funkelnden Eisen.
Nach ihm wird mit der fünfziger Zahl wieder herrschen ein Andrer,
Welcher aus Asien kömmt, ein schrecklicher, furchtbarer Krieger.
Und er wird bringen den Krieg bis zu Roms vortrefflichen Mauern,
Kolchern und Heniochern, zu den Milchtrinkern, den Agathyrsen,
Und zu Thraziens sandiger Bucht am Pontus Euxinus.
Und dann wird, wann der König gestorben ist, Rom auch verwaist sein,
Sie die an Männern berühmt war, und zahlreiches Volk geht zu Grunde.
Und alsdann wird wiederum, herkommend vom grossen Aegypten,
Herrschen ein Schrecklicher, Furchtbarer, welcher die trefflichen Parther
Tödtet, die Meder, Germanen, am Bosporus die Agathyrser,
Die Brittanner und Perner, die Köcherbeschwerten Iberer,
Die Massageten, die tückischen, auch, und die herrischen Perser.
Dann wird ein trefflicher Mann hinschaun auf das sämmtliche Hellas,
Welcher gen Scythien und den stürmenden Kaukasus Groll hegt.
Aber wann dieser regiert, wird ein mächtiges Zeichen geschehen:
Denn vom Himmel her wird sich nach Mittag und nach Mitternacht hin
Heben ein Kranz empor, den leuchtenden Sternen ganz ähnlich.
Und dann wird er dem Sohn die Herrschaft des Reichs hinterlassen,
Von der Buchstaben Beginn, dieweil durch das eigene Schicksal
Er in der Unterwelt Haus eingeht, der mannhafte König.
Aber wenn dann bis dahin der Sohn zu dem Boden von Rom kömmt,
Er, von der Einzahl genannt; dann wird auf der sämmtlichen Erde
Herrschen ein Friede, der gross und ersehnt ist, und die Lateiner
Werden ihn wegen der Würde des Königs und wegen des Vaters
Lieben; es werden, wann er nach dem Orient eilt und gen Abend
Ihn die Römer zu Haus fest halten, selbst wider Willen,
Ihn, den Herrscher von Rom, dieweil von Freundschaft erfüllt ist

Θυμὸς ὑπὲρ βασιλῆος ἀγακλυτοῖο ἄνακτος.
Ἀλλὰ μιννυθάδιόν μιν ἀφαρπάξει βιότοιο
Οὐλόμενος θάνατος, προδοθεὶς ἰδίῃ ἐνὶ μοίρῃ.
Ἄλλοι δ' αὖ μετέπειτα πάλιν κρατεροὶ πολεμισταὶ
Ἀλλήλους κόψουσι, κακὴν ἔριδα προφέροντες,
Οὐ βασίλεια ἔχοντες ἀνάκτορος, ἀλλὰ τυράννων.
Πολλὰ δὲ δὴ τελέσουσι κακὰ κόσμῳ ἐνὶ παντὶ,
Ῥωμαίοις δὲ μάλιστα μέχρι τριτάτου Διονύσου,
Ἄχρις ἀπ' Αἰγύπτου κεκορυθμένος ἥξεται ἄρης,
Ὃν Διόνυσον ἄνακτα μετωνυμίαν καλέουσιν.
Ἀλλ' ὁπόταν φόνιός τε λέων φονίη τε λέαινα
Πορφύρεον ῥήξουσι κλυτὸν βασιλήϊον εἷμα,
Πνεύμονι συμμάρψουσιν, ἐπειγομένης βασιλείης·
Καὶ τότε δ' ἁγνὸς ἄναξ, ὃς τ' ἔλλαβε τραύματος ἀρχὴν,
Ἐχθροὺς ἡγεμονῆας ἀμειψάμενος περὶ νίκης
Φέρφεσθαι σκυλάκεσσι καὶ οἰωνοῖσι μεθήσει.
Αἶ αἶ σὺ, πυρίκαυστε πόλις, μεγαλόσθενε Ῥώμη,
Ὁππόσα δεῖ σε παθεῖν, ὁπόταν τάδε πάντα γένηται.
Ἀλλὰ μέγας βασιλεὺς ὁ περίκλυτος ἀμφὶς ἔπειτα
Χρυσῷ τ', ἠλέκτρῳ τε, καὶ ἀργύρῳ, ἠδ' ἐλέφαντι
Ἐξεγερεῖ πᾶσάν σε, καὶ ἐν κόσμῳ προτερήσει
Κτήμασι καὶ ναοῖς, ἀγοραῖς, πλούτοις σταδίοις τε·
Καὶ τότε δ' αὖτις ἔσῃ πᾶσι φῶς, ὡς τὸ πρὶν ἦσθα.
Αἶ μέλεοι Κέκροπες, καὶ Δαύλιοι, ἠδὲ Λάκωνες,
Οἱ περὶ Πηνιόν τε βαθύσχοινόν τε Μολοσσὸν,
Τρίκκην, Δωδώνην τε, καὶ ὑψίτμητον Ἰθώμην,
Αὐχένα τε, πτερικοῦ τε μέγαν περὶ ῥίον Ὀλύμπου,
Ὄσσαν, Λάρισσάν τε, καὶ ὑψίπυλον Καλυδῶνα.
Ἀλλ' ὁπόταν μέγα σῆμα Θεὸς μερόπεσσι ποιήσῃ,
Ἡμερίην σκοτόεσσαν ἀμολγαίην περὶ κόσμου,
Καὶ τότε σοι, βασιλεῦ, τέλος ἔσσεται, οὐδὲ φύγοις ἂν
Ὀξὺ κασιγνήτοιο βιὸν βεβολημένον εἰς σέ.
Καὶ τότε δ' αὖτ' ἄρξει θυμοφθόρος, ἄσπετος, αἴθων,
Ἐκ γενετῆς βασιλῆος, ὃς Αἰγύπτου γένος ἕξει,
Ὁπλότερος μὲν πολλῷ [ἀριστερὸς] δὲ συναίμου,
Ὀγδοήκοντ' ἀριθμῶν, ὃς ἔλλαχεν ἔντυπον ἀρχήν.
Καὶ τότε δ' ἀθανάτοιο Θεοῦ θυμάλγεα μῆνιν
